Collections

LEGIVM GRAECVM

IN VSVM

I GYMNASIORVM ORDINIS

COLLECTVM

A

LOLOGIS AFRANIS

FASCICVLVS XI

LIPSIAE
AEDIBVS B. G. TEVBNERI
MCMI

Collections

FLORILEGIVM GRAECVM

IN VSVM

PRIMI GYMNASIORVM ORDINIS

COLLECTVM

A

PHILOLOGIS AFRANIS

FASCICVLVS XI

LIPSIAE
IN AEDIBVS B. G. TEVBNERI
MCMI

Praefatio.

Quod multorum virorum doctorum bibliopolaeque auctoritati obsecuti novam hanc florilegii nostri fasciculorum seriem colligere et in publicum edere constituimus, consilium nostrum idem fuit, quod in praefatione primi fasciculi proposueramus, ut et gymnasiorum ipsi usui serviremus et discipulis scientiam antiquitatis aliis scriptoribus, atque in gymnasiis tractari solerent, aliisque rebus cognitis amplificaremus. unus fasciculus quartus decimus capita quaedam ex Thucydidis historiis sumpta conprehendit, cum in plerisque gymnasiis nostris publicae lectionis locum suum nondum deseruerint, itemque ex Platonis Critone apologiaque et ex Demosthenis orationibus Philippicis. seposueramus talia ex prima et altera pentade, desideraverunt alii viri rerum scholasticarum periti, idque nunc iure quodam suo. nam hercle olim adulescentium magis intererat integra scriptorum opera possidere manibusque terere quam particulas quasdam notis inspersas, quibus etsi labor meditatioque sublevatur, studium tamen et amor ipsius operis scriptorisque reprimitur vel restinguitur. contra in ceteris fasciculis ne sic quidem intra fines scriptorum librorumque in scholis usitatorum nos coercuimus. in undecimo igitur habes supplementa primi, tertii, quinti ex larga

poetarum varietate conquisita, etiam eorum, qui nuper in Aegypto inventi sunt, duodecimi paene dimidiam partem Aristotelis Ἀθηναίων πολιτεία obtinet, qui liber et argumento et sermone praeter alios huic rei aptus esse videbatur, reliqua vel ad res a Graecis gestas vel ad doctrinam constitutionis rei publicae pertinet; proximo discipulis vitam privatam Graecorum a diversis partibus eis fere incognitis illustrare studuimus, ultimo eos ad virtutem Gotorum admirandam, ad Hunnorum barbariem cognoscendam (auctore Vdalrico de Wilamowitz), ad oratoris Christiani eloquentiam cum Demosthene et Cicerone conparandam (suasit Otto Immisch) transducere simulque apte perorare. nam etiam hac aetate adulescentes esse credebamus, quorum animos magis iuvaret ad fontes eniti quam ex rivulis inde diductis libare, praesertim cum Procopius non modo iucundus lectu sed etiam facilis intellectu esset.

Hermannus Peter. Ioannes Gilbert.
Conradus Dietrich. Ernestus Schwabe.
Henricus Heyden. Erwinus Pollack.
Carolus Brandstaetter.

PINDARVS

Thebanus floruit temporibus bellorum Persarum (a. Chr. n. 522—442). coluit omnia genera poesis choricae (*ὕμνους, παιᾶνας, διθυράμβους, προσόδια, παρθένια, ὑπορχήματα, ἐγκώμια, σκόλια, θρήνους*). exstant *Ὀλυμπιονῖκαι, Πυθιονῖκαι, Νεμεονῖκαι, Ἰσθμιονῖκαι,* quibus carminibus victores ludorum laudantur.

I. Carmen Pythium I.

Celebratur Hiero, Syracusanorum tyrannus, Dinomenis filius, ut Aeschyli, Simonidis, Bacchylidis, ita Pindari fautor, qui Pythiis a. 470 victoriam curulem adeptus Aetnaeum se renuntiari iussit, ut gratificaretur urbi Aetnae sexennio ante conditae (v. 30 sqq.). cantatum est apud Dinomenem, Hieronis filium, Aetnae praefectum (v. 58. 60. 70). anno 474 Hiero Etruscos vicit ad Cumas, auxilio arcessitus a Cumanis (v. 72 sqq.); a. 472 superavit Thrasydaeum et Agrigentinos (v. 50); nec non fuerat particeps victoriae a Carthaginiensibus reportatae ad Himeram a. 480 (v. 79). Recens tum erat in memoria Aetnaeorum ignium vehementissima quaedam eruptio (v. 21 sqq.).

Χρυσέα φόρμιγξ, Ἀπόλλωνος καὶ ἰοπλοκάμων στρ. α'.
σύνδικον Μοισᾶν κτέανον· τᾶς ἀκούει μὲν βάσις,
ἀγλαΐας ἀρχά,
πείθονται δ' ἀοιδοὶ σάμασιν,
ἁγησιχόρων ὁπόταν προοιμίων ἀμβολὰς τεύχῃς ἐλελιζο-
μένα.
καὶ τὸν αἰχματὰν κεραυνὸν σβεννύεις
ἀενάου πυρός. εὕδει δ' ἀνὰ σκάπτῳ Διὸς αἰετός, ὠκεῖαν
πτέρυγ' ἀμφοτέρωθεν χαλάξαις,
ἀρχὸς οἰωνῶν, κελαινῶπιν δ' ἐπί οἱ νεφέλαν ἀντ. α'.
ἀγκύλῳ κρατί, γλεφάρων ἁδὺ κλάιστρον, κατέχευας·
ὁ δὲ κνώσσων
ὑγρὸν νῶτον αἰωρεῖ, τεαῖς
ῥιπαῖσι κατασχόμενος. καὶ γὰρ βιατὰς Ἄρης, τραχεῖαν
ἄνευθε λιπὼν

ἐγχέων ἀκμάν, ἰαίνει καρδίαν
κώματι, κῆλα δὲ καὶ δαιμόνων θέλγει φρένας, ἀμφί
τε Λατοίδα σοφίᾳ βαθυκόλπων τε Μοισᾶν.
ὅσσα δὲ μὴ πεφίληκε Ζεύς, ἀτύζονται βοὰν ἐπ. α΄.
Πιερίδων ἀίοντα, γᾶν τε καὶ πόντον κατ' ἀμαιμάκετον,
ὅς τ' ἐν αἰνᾷ Ταρτάρῳ κεῖται, θεῶν πολέμιος,
Τυφὼς ἑκατοντακάρανος· τόν ποτε
Κιλίκιον θρέψεν πολυώνυμον ἄντρον· νῦν γε μὰν
ταί θ' ὑπὲρ Κύμας ἁλιερκέες ὄχθαι
Σικελία τ' αὐτοῦ πιέζει στέρνα λαχνάεντα· κίων δ' οὐρα-
νία συνέχει,
νιφόεσσ' Αἴτνα, πάνετες χιόνος ὀξείας τιθήνα·
τᾶς ἐρεύγονται μὲν ἀπλάτου πυρὸς ἁγνόταται στρ. β΄.
ἐκ μυχῶν παγαί· ποταμοὶ δ' ἁμέραισιν μὲν προχέοντι
ῥόον καπνοῦ
αἴθων'· ἀλλ' ἐν ὄρφναισιν πέτρας
φοίνισσα κυλινδομένα φλὸξ ἐς βαθεῖαν φέρει πόντου
πλάκα σὺν πατάγῳ.
κεῖνο δ' Ἁφαίστοιο κρουνοὺς ἑρπετὸν
δεινοτάτους ἀναπέμπει· τέρας μὲν θαυμάσιον προσιδέ-
σθαι, θαῦμα δὲ καὶ παρ' ἰδόντων ἀκοῦσαι,
οἷον Αἴτνας ἐν μελαμφύλλοις δέδεται κορυφαῖς ἀντ. β΄.
καὶ πέδῳ, στρωμνὰ δὲ χαράσσοισ' ἅπαν νῶτον ποτι-
κεκλιμένον κεντεῖ.
εἴη, Ζεῦ, τὶν εἴη ἁνδάνειν,
ὃς τοῦτ' ἐφέπεις ὄρος, εὐκάρποιο γαίας μέτωπον, τοῦ
μὲν ἐπωνυμίαν
κλεινὸς οἰκιστὴρ ἐκύδανεν πόλιν
γείτονα, Πυθιάδος δ' ἐν δρόμῳ κᾶρυξ ἀνέειπέ νιν
ἀγγέλλων Ἱέρωνος ὑπὲρ καλλινίκου
ἅρμασι. ναυσιφορήτοις δ' ἀνδράσι πρώτα χάρις ἐπ. β΄.

ἐς πλόον ἀρχομένοις πομπαῖον ἐλθεῖν οὖρον· ἐοικότα γὰρ
κἂν τελευτᾷ φερτέρου νόστου τυχεῖν. ὁ δὲ λόγος
ταύταις ἐπὶ συντυχίαις δόξαν φέρει
λοιπὸν ἔσσεσθαι στεφάνοισί νιν ἵπποις τε κλυτὰν
καὶ σὺν εὐφώνοις θαλίαις ὀνυμαστάν.
Λύκιε καὶ Δάλου ἀνάσσων Φοῖβε, Παρνασσοῦ τε κρά-
ναν Κασταλίαν φιλέων,
ἐθελήσαις ταῦτα νόῳ τιθέμεν εὔανδρόν τε χώραν.
ἐκ θεῶν γὰρ μαχαναὶ πᾶσαι βροτέαις ἀρεταῖς, στρ. γ'.
καὶ σοφοὶ καὶ χερσὶ βιαταὶ περίγλωσσοί τ' ἔφυν. ἄνδρα
δ' ἐγὼ κεῖνον
αἰνῆσαι μενοινῶν ἔλπομαι
μὴ χαλκοπάραον ἄκονθ' ὡσείτ' ἀγῶνος βαλεῖν ἔξω
παλάμᾳ δονέων,
μακρὰ δὲ ῥίψαις ἀμεύσασθ' ἀντίους.
εἰ γὰρ ὁ πᾶς χρόνος ὄλβον μὲν οὕτω καὶ κτεάνων δόσιν
εὐθύνοι, καμάτων δ' ἐπίλασιν παράσχοι.
ἦ κεν ἀμνάσειεν, οἵαις ἐν πολέμοιο μάχαις ἀντ. γ'.
τλάμονι ψυχᾷ παρέμειν', ἀνίχ' εὑρίσκοντο θεῶν παλά-
μαις τιμάν,
οἵαν οὔτις Ἑλλάνων δρέπει,
πλούτου στεφάνωμ' ἀγέρωχον. νῦν γε μὰν τὰν Φιλο-
κτήταο δίκαν ἐφέπων
ἐστρατεύθη· σὺν δ' ἀνάγκᾳ μὴ φίλον
καί τις ἐὼν μεγαλάνωρ ἔσανεν. φαντὶ δὲ Λαμνόθεν
ἕλκει τειρόμενον μετανάξοντας ἐλθεῖν
ἥρωας ἀντιθέους Ποίαντος υἱὸν τοξόταν· ἐπ. γ'.
ὃς Πριάμοιο πόλιν πέρσεν, τελεύτασέν τε πόνους Δαναοῖς,
ἀσθενεῖ μὲν χρωτὶ βαίνων, ἀλλὰ μοιρίδιον ἦν.
οὕτω δ' Ἱέρωνι θεὸς ὀρθωτὴρ πέλοι
τὸν προσέρποντα χρόνον, ὧν ἔραται, καιρὸν διδούς.

Μοῖσα, καὶ πὰρ Δεινομένει κελαδῆσαι
πίθεό μοι ποινὰν τεθρίππων· χάρμα δ' οὐκ ἀλλότριον
νικαφορία πατέρος.
ἄγ' ἔπειτ' Αἴτνας βασιλεῖ φίλιον ἐξεύρωμεν ὕμνον·
τῷ πόλιν κείναν θεοδμάτῳ σὺν ἐλευθερίᾳ στρ. δ'.
Ὑλλίδος στάθμας Ἱέρων ἐν νόμοις ἔκτισσε· θέλοντι
δὲ Παμφύλου
καὶ μὰν Ἡρακλειδᾶν ἔκγονοι
ὄχθαις ὕπο Ταϋγέτου ναίοντες αἰεὶ μένειν τεθμοῖσιν
ἐν Αἰγιμιοῦ
Δωρίοις. ἔσχον δ' Ἀμύκλας ὄλβιοι,
Πινδόθεν ὀρνύμενοι, λευκοπώλων Τυνδαριδᾶν βαθύ-
δοξοι γείτονες, ὧν κλέος ἄνθησεν αἰχμᾶς.
Ζεῦ τέλει', αἰεὶ δὲ τοιαύταν Ἀμένα παρ' ὕδωρ ἀντ. δ'.
αἶσαν ἀστοῖς καὶ βασιλεῦσιν δίδοι, κραίνων ἔτυμον
λόγον ἀνθρώπων.
σύν τοι τίν κεν ἀγητὴρ ἀνήρ,
υἱῷ τ' ἐπιτελλόμενος, δᾶμον γεραίρων τράποι σύμφω-
νον ἐς ἡσυχίαν.
λίσσομαι νεῦσον, Κρονίων, ἅμερον
ὄφρα κατ' οἶκον ὁ Φοῖνιξ ὁ Τυρσανῶν τ' ἀλαλατὸς
ἔχῃ, ναυσίστονον ὕβριν ἰδὼν τὰν πρὸ Κύμας·
οἷα Συρακοσίων ἀρχῷ δαμασθέντες πάθον, ἐπ. δ'.
ὠκυπόρων ἀπὸ ναῶν ὅς σφιν ἐν πόντῳ βάλεν ἁλικίαν,
Ἑλλάδ' ἐξέλκων βαρείας δουλίας. ἀρέομαι
πὰρ μὲν Σαλαμῖνος Ἀθαναίων χάριν
μισθόν, ἐν Σπάρτᾳ δ' ἐρέω πρὸ Κιθαιρῶνος μάχαν,
ταῖσι Μήδειοι κάμον ἀγκυλότοξοι·
παρὰ δὲ τὰν εὔυδρον ἀκτὰν Ἱμέρα παίδεσσιν ὕμνον
Δεινομένεος τελέσαις,
τὸν ἐδέξαντ' ἀμφ' ἀρετᾷ, πολεμίων ἀνδρῶν καμόντων.

καιρὸν εἰ φθέγξαιο, πολλῶν πείρατα συντανύσαις στρ. ε΄.
ἐν βραχεῖ, μείων ἕπεται μῶμος ἀνθρώπων. ἀπὸ γὰρ κόρος ἀμβλύνει
αἰανὴς ταχείας ἐλπίδας·
ἀστῶν δ' ἀκοὰ κρύφιον θυμὸν βαρύνει μάλιστ' ἐσλοῖσιν ἐπ' ἀλλοτρίοις.
ἀλλ' ὅμως — κρέσσων γὰρ οἰκτιρμοῦ φθόνος —
μὴ παρίει καλά. νώμα δικαίῳ πηδαλίῳ στρατόν· ἀψευδεῖ δὲ πρὸς ἄκμονι χάλκευε γλῶσσαν.
εἴ τι καὶ φλαῦρον παραιθύσσει, μέγα τοι φέρεται ἀντ. ε΄.
πὰρ σέθεν. πολλῶν ταμίας ἐσσί· πολλοὶ μάρτυρες ἀμφοτέροις πιστοί.
εὐανθεῖ δ' ἐν ὀργᾷ παρμένων,
εἴπερ τι φιλεῖς ἀκοὰν ἁδεῖαν αἰεὶ κλύειν, μὴ κάμνε λίαν δαπάναις·
ἐξίει δ' ὥσπερ κυβερνάτας ἀνὴρ
ἱστίον ἀνεμόεν. μὴ δολωθῇς, ὦ φίλ', ἐντραπέλοις κέρδεσσ'· ὀπιθόμβροτον αὔχημα δόξας
οἶον ἀποιχομένων ἀνδρῶν δίαιταν μανύει ἐπ. ε΄.
καὶ λογίοις καὶ ἀοιδοῖς. οὐ φθίνει Κροίσου φιλόφρων ἀρετά·
τὸν δὲ ταύρῳ χαλκέῳ καυτῆρα νηλέα νόον
ἐχθρὰ Φάλαριν κατέχει παντᾷ φάτις,
οὐδέ νιν φόρμιγγες ὑπωρόφιαι κοινωνίαν
μαλθακὰν παίδων ὀάροισι δέκονται.
τὸ δὲ παθεῖν εὖ πρῶτον ἀέθλων· εὖ δ' ἀκούειν δευτέρα μοῖρ'· ἀμφοτέροισι δ' ἀνὴρ
ὃς ἂν ἐγκύρσῃ καὶ ἕλῃ, στέφανον ὕψιστον δέδεκται.

BACCHYLIDES

Ceus, aequalis idemque, ut fertur, aemulus Pindari, filius sororis Simonidis, aliquamdiu apud Hieronem, Syracusanorum tyrannum, postea in Peloponneso versatus est. coluit omnia fere genera poesis lyricae. quae exstant carmina, maximam partem nuperrime inventa sunt in Aegypto; primus papyrum legit Kenyon Britannus a. 1897.

II. Θησεύς (dithyrambus, 18 Ken., 17 Bl.)

Theseus adolescens Troezene Athenas profectus quas res gesserit, ita narratur, ut chorus Atheniensium interrogandi, respondendi partes Aegeus rex susceperit, qui illum filium suum esse ignorat. — v. 21 *Λυταῖος· διὰ τὸ λῦσαι τὰ Τέμπη Ποσειδῶνα καὶ σκεδάσαι τὸ ἀπὸ τοῦ κατακλυσμοῦ ὕδωρ.* v. 55 *Λήμνιον βλέπειν* de oculis igne micantibus, cf. 'Vulcania Lemnus'.

ΧΟΡΟΣ. *Βασιλεῦ τᾶν ἱερᾶν Ἀθανᾶν,* στρ. α'.
τῶν ἁβροβίων ἄναξ Ἰώνων,
τί νέον ἔκλαγε χαλκοκώδων
σάλπιγξ πολεμηίαν ἀοιδάν;
ἦ τις ἁμετέρας χθονὸς
δυσμενὴς ὅρι' ἀμφιβάλλει
στραταγέτας ἀνήρ;
ἢ λῃσταὶ κακομάχανοι
ποιμένων ἀέκατι μήλων
σεύοντ' ἀγέλας βίᾳ;
ἢ τί τοι κραδίαν ἀμύσσει;
φθέγγευ· δοκέω γάρ, εἴ τινι βροτῶν,
ἀλκίμων ἐπικουρίαν
καὶ τὶν ἔμμεναι νέων,
ὦ Πανδίονος υἱὲ καὶ Κρεούσας.

ΑΙΓΕΥΣ. *Νέον ἦλθεν δολιχὰν ἀμείψας* στρ. β'.
κᾶρυξ ποσὶν Ἰσθμίαν κέλευθον·
ἄφατα δ' ἔργα λέγει κραταιοῦ
φωτός· τὸν ὑπέρβιόν τ' ἔπεφνεν
Σίνιν, ὃς ἰσχύι φέρτατος

θνατῶν ἦν, Κρονίδα Λυταίου
σεισίχθονος τέκος·
σῦν τ' ἀνδροκτόνον ἐν νάπαις
Κρεμμυῶνος, ἀτάσθαλόν τε
Σκίρωνα κατέκτανεν·
τάν τε Κερκυόνος παλαίστραν
ἔσχεν· Πολυπήμονός τε καρτερὰν
σφῦραν ἐξέβαλεν Προκό-
πτας, ἀρείονος τυχὼν
φωτός. ταῦτα δέδοιχ' ὅπᾳ τελεῖται.

ΧΟ. Τίνα δ' ἔμμεν πόθεν ἄνδρα τοῦτον — στρ. γ'.
λέγει, τίνα τε στολὰν ἔχοντα;
πότερα σὺν πολεμηίοις ὅ-
πλοισι στρατιὰν ἄγοντα πολλάν,
ἢ μοῦνόν τ' ἄνοπλόν τέ νιν
στείχειν, ἔμπορον οἷ' ἀλάταν,
ἐπ' ἀλλοδαμίαν,
ἰσχυρόν τε καὶ ἄλκιμον
ὧδε καὶ θρασύν, ὃς τοσούτων
ἀνδρῶν κρατερὸν σθένος
ἔσχεν; ἦ θεὸς αὐτὸν ὁρμᾷ,
δίκας ἀδίκοισιν ὄφρα μήσεται·
οὐ γὰρ ῥᾴδιον αἰὲν ἔρ-
δοντα μὴ 'ντυχεῖν κακῷ.
πάντ' ἐν τῷ δολιχῷ χρόνῳ τελεῖται.

ΑΙΓ. Δύο οἱ φῶτε μόνους ἁμαρτεῖν — στρ. δ'.
λέγει, περὶ φαιδίμοισι δ' ὤμοις
ξίφος ἔχειν ἐλεφαντόκωπον,
ξεστοὺς δὲ δύ' ἐν χέρεσσ' ἄκοντας
κηΰτυκτον κυνέαν Λάκαι-
ναν κρατὸς πέρι πυρσοχαίτου,

χιτῶνα πορφύρεον
στέρνοις τ' ἄμφι, καὶ οὔλιον
Θεσσαλὰν χλαμύδ'· ὀμμάτων δὲ
στίλβειν ἄπο Λαμνίαν
φοίνισσαν φλόγα· παῖδα δ' ἔμμεν
πρώϑηβον, Ἀρηίων δ' ἀϑυρμάτων
μεμνᾶσϑαι, πολέμου τε καὶ
χαλκεοκτύπου μάχας·
δίζησϑαι δὲ φιλαγλάους Ἀϑάνας.

III. Ἠίθεοι ἢ Θηcεύc (paean, 17 Ken., 16 Bl.).

Theseo (patre sive Aegeo sive Neptuno, matre Aethra, Pitthei Troezeniorum regis filia, orto) cum pueris virginibusque Cretam vehenti propter puellam rixa exoritur cum Minoe (filio Iovis et Europae, Phoenicis filiae, marito Pasiphaae, filiae Solis). hic a Iove impetrat, ut fulmine misso filium se agnoscat. ille ut divinum suum genus probet, Minois iussu in Neptuni patris submarinam domum demersus Amphitritae divina munera secum ferens revertitur. carmen in Apollinis Delii honorem a Ceorum choro sive Deli sive Cei cantatum est. (v. 31 ἐρατώνυμος venustate insignis, v. 47 ἀρέταιχμος validus hasta, v. 56 πυριέϑειρα crine igneo, v. 70 πανδερκής omnibus conspicuus, v. 90 σοέω = σεύω.) cf. Pausan. I 17, 3.

Κυανόπρωρα μὲν ναῦς, μενέκτυπον στρ. α'.
Θησέα δὶς ἑπτά τ' ἀγλαοὺς ἄγουσα
κούρους Ἰαόνων,
Κρητικὸν τάμνε πέλαγος·
τηλαυγέι γὰρ ἐν φάρεϊ
βορήιαι πίτνον αὖραι
κλυτᾶς ἕκατι πελεμαίγιδος Ἀϑάνας.
κνίσεν τε Μίνωι κέαρ
ἱμεράμπυκος ϑεᾶς
Κύπριδος ἁγνὰ δῶρα·
χεῖρα δ' οὐκέτι παρϑενικᾶς
ἄτερϑ' ἐράτυεν, ϑίγεν

δὲ λευκᾶν παρηΐδων.
βόασέ τ' Ἐρίβοια χαλκο-
θώρακα Πανδίονος
ἔκγονον. ἴδεν δὲ Θησεύς,
μέλαν δ' ὑπ' ὀφρύων
δίνασεν ὄμμα, καρδίαν τέ οἱ
σχέτλιον ἄμυξεν ἄλγος,
εἶρέν τε· Διὸς υἱὲ φερτάτου,
ὅσιον οὐκέτι τεᾶν
ἔσω κυβερνᾷς φρενῶν
θυμόν· ἴσχε μεγάλαυχον, ἥρως, βίαν.
ὅ τι μὲν ἐκ θεῶν μοῖρα παγκρατὴς ἀντ. α΄.
ἄμμι κατένευσε καὶ Δίκας ῥέπει τά-
λαντον, πεπρωμέναν
αἶσαν ἐκπλήσομεν, ὅταν
ἔλθῃ· σὺ δὲ βαρεῖαν κάτε-
χε μῆτιν. εἰ καί σε κεδνὰ
τέκεν λέχει Διὸς ὑπὸ κρόταφον Ἴδας
μιγεῖσα Φοίνικος ἐρα-
τώνυμος κόρα βροτῶν
φέρτατον, ἀλλὰ κἀμὲ
Πιτθέος θύγατηρ ἀφνεοῦ
πλαθεῖσα ποντίῳ τέκεν
Ποσειδᾶνι, χρύσεόν
τέ οἱ δόσαν ἰόπλοκοι
κάλυμμα Νηρηΐδες.
τῷ σε, πολέμαρχε Κνώσιε,
κέλομαι πολύστονον
ἐρύκεν ὕβριν· οὐ γὰρ ἂν θέλοιμ'
ἀμβρότου ἐραννὸν Ἀοῦς
ἰδεῖν φάος, ἐπεί τιν' ἠιθέων

σὺ δαμάσειας ἀέκον-
τα. πρόσθε χειρῶν βίαν
δείξομεν· τὰ δ' ἐπιόντα δαίμων κρινεῖ.'
τόσ' εἶπεν ἀρέταιχμος ἥρως, ἐπ. α'.
τάφον δὲ ναυβάται
φωτὸς ὑπεράφανον
θάρσος. Ἁλίου τε γαμβρῷ χολώθη κέαρ,
ὕφαινέ τε ποταινίαν
μῆτιν εἶπέν τε· 'μεγαλοσθενὲς
Ζεῦ πάτερ, ἄκουσον· εἴπερ με κούρα
Φοίνισσα λευκώλενος σοὶ τέκε,
νῦν πρόπεμπ' ἀπ' οὐρανοῦ θοὰν
πυριέθειραν ἀστραπάν,
σᾶμ' ἀρίγνωτον· εἰ
δὲ καὶ σὲ Τροζηνία σεισίχθονι
φύτευσεν Αἴθρα Ποσει-
δᾶνι, τόνδε χρύσεον
χειρὸς ἀγλαὸν
ἔνεγκε κόσμον ἐκ βαθείας ἁλός,
δικὼν θράσει σῶμα πατρὸς ἐς δόμους.
εἴσεαι δ', αἴ κ' ἐμᾶς κλύῃ
Κρόνιος εὐχᾶς
ἀναξιβρόντας ὁ πάντων μεδέων.'
κλύε δ' ἄμεμπτον εὐχὰν μεγασθενὴς στρ. β'.
Ζεὺς ὑπέροχόν τε Μίνωι φύτευσε
τιμάν, φίλον θέλων
παῖδα πανδερκέα θέμεν,
ἄστραψέ θ'. ὁ δὲ θυμάρμενον
ἰδὼν τέρας πέτασε χεῖρας
κλυτὰν ἐς αἰθέρα μενεπτόλεμος ἥρως
εἶρέν τε· 'Θησεῦ, τάδε μὲν

ἔβλεπες σαφῆ Διὸς
δῶρα· σὺ δ' ὄρνυ' ἐς βα-
  ρύβρομον πέλαγος, Κρονίδας
δέ τοι πατὴρ ἄναξ τελεῖ
Ποσειδὰν ὑπέρτατον
  κλέος χθόνα κατ' ἠΰδενδρον.'
  ὣς εἶπε· τῷ δ' οὐ πάλιν
θυμὸς ἀνεκάμπτετ', ἀλλ' εὐ-
  πάκτων ἐπ' ἰκρίων
σταθεὶς ὄρουσε, πόντιόν τέ νιν
  δέξατο θελημὸν ἄλσος.
τάφεν δὲ Διὸς υἱὸς ἔνδοθεν
κέαρ, κέλευσέ τε κατ' οὖ-
  ρον ἴσχεν εὐδαίδαλον
νᾶα· μοῖρα δ' ἑτέραν ἐπόρσυν' ὁδόν.
ἵετο δ' ὠκύπομπον δόρυ, σόει   ἀντ. β'.
νιν βορεὰς ἐξόπιθε πνέουσ' ἀήτα.
  τρέσσαν δ' Ἀθαναίων
ἠϊθέων πᾶν γένος, ἐπεὶ
ἥρως θόρεν πόντονδε, κα-
  τὰ λειρίων τ' ὀμμάτων δά-
  κρυ χέον, βαρεῖαν ἐπιδέγμενοι ἀνάγκαν.
φέρον δὲ δελφῖνες ἐνα-
  λιναιέται μέγαν θοῶς
Θησέα πατρὸς ἱππί-
  ου δόμον, μέγαρόν τε θεῶν
μόλεν. τόθι κλυτὰς ἰδὼν
ἔδεισ' ὀλβίοιο Νη-
  ρέος κόρας· ἀπὸ γὰρ ἀγλα-
  ῶν λάμπε γυίων σέλας
ὧτε πυρός, ἀμφὶ χαίταις

δὲ χρυσεόπλοκοι
δίνηντο ταινίαι, χορῷ δὲ τέρ-
πον κέαρ ὑγροῖσιν ἐν ποσίν.
εἶδέν τε πατρὸς ἄλοχον φίλαν
σεμνὰν βοῶπιν ἐρατοῖ-
σιν Ἀμφιτρίταν δόμοις·
ἅ νιν ἀμφέβαλε ταινίαν πορφυρέαν
κόμαισί τ' ἐπέθηκεν οὔλαις ἐπ. β΄.
ἀμεμφέα πλόκον,
τόν ποτέ οἱ ἐν γάμῳ
δῶκε δόλιος Ἀφροδίτα, ῥόδοις εἰρμένον.
ἄπιστον, ὅ τι δαίμονες
θέωσιν, οὐδὲν φρενοάραις βροτοῖς·
νᾶα παρὰ λεπτόπρυμνον φάνη. φεῦ,
οἵαισιν ἐν φροντίσι Κνώσιον
ἔσχασεν στραταγέταν, ἐπεὶ
μόλ' ἀδίαντος ἐξ ἁλός,
θαῦμα πάντεσσι. λάμ-
πε δ' ἀμφὶ γυίοις θεῶν δῶρ', ἀγλαό-
θρονοί τε κοῦραι σὺν εὐ-
θυμίᾳ νεοκτίτῳ
ὠλόλυξαν, ἔ-
κλαγεν δὲ πόντος, ἠίθεοι δ' ἐγγύθεν
νέοι παιάνιξαν ἐρατᾷ ὀπί.
Δάλιε, χοροῖσι Κηίων
φρένα ἰανθεὶς
ὄπαζε θεόπομπον ἐσθλῶν τύχαν.

IV. Prometheus et Oceanitides.

(Aeschyl. Prometh. 88—127. 193—276. cf. fasc. I p. 33.)

Prometheo propter nimium suum erga homines amorem se miserum et invisum Iovi disque omnibus esse querenti Oceani

filiae per auras appropinquant (a); quibus ille tum cur et quales det poenas enarrat (b).

a. ΠΡΟΜΗΘΕΥΣ.

Ὦ δῖος αἰθὴρ καὶ ταχύπτεροι πνοαί,
ποταμῶν τε πηγαὶ ποντίων τε κυμάτων
ἀνήριθμον γέλασμα, παμμῆτόρ τε γῆ,
καὶ τὸν πανόπτην κύκλον ἡλίου καλῶ·
ἴδεσθέ μ' οἷα πρὸς θεῶν πάσχω θεός.
δέρχθηθ' οἵαις αἰκίαισιν
διακναιόμενος τὸν μυριετῆ
χρόνον ἀθλεύσω.
τοιόνδ' ὁ νέος ταγὸς μακάρων
ἐξηῦρ' ἐπ' ἐμοὶ δεσμὸν ἀεικῆ.
φεῦ φεῦ, τὸ παρὸν τό τ' ἐπερχόμενον
πῆμα στενάχω, πῇ ποτε μόχθων
χρὴ τέρματα τῶνδ' ἐπιτεῖλαι.
καίτοι τί φημι; πάντα προυξεπίσταμαι
σκεθρῶς τὰ μέλλοντ', οὐδέ μοι ποταίνιον
πῆμ' οὐδὲν ἥξει. τὴν πεπρωμένην δὲ χρὴ
αἶσαν φέρειν ὡς ῥᾷστα, γιγνώσκονθ' ὅτι
τὸ τῆς ἀνάγκης ἔστ' ἀδήριτον σθένος.
ἀλλ' οὔτε σιγᾶν οὔτε μὴ σιγᾶν τύχας
οἷόν τέ μοι τάσδ' ἐστί. θνητοῖς γὰρ γέρα
πορὼν ἀνάγκαις ταῖσδ' ἐνέζευγμαι τάλας·
ναρθηκοπλήρωτον δὲ θηρῶμαι πυρὸς
πηγὴν κλοπαίαν, ἣ διδάσκαλος τέχνης
πάσης βροτοῖς πέφηνε καὶ μέγας πόρος.
τοιῶνδε ποινὰς ἀμπλακημάτων τίνω
ὑπαιθρίοις δεσμοῖς πεπασσαλευμένος.
Ἆ ἄ,
τίς ἀχώ, τίς ὀδμὰ προσέπτα μ' ἀφεγγής,

θεόσυτος, ἢ βρότειος, ἢ κεκραμένη;
ἵκετο τερμόνιον ἐπὶ πάγον
πόνων ἐμῶν θεωρός, ἢ τί δὴ θέλων;
δρᾶτε δεσμώτην με δύσποτμον θεόν,
τὸν Διὸς ἐχθρόν, τὸν πᾶσι θεοῖς
δι' ἀπεχθείας ἐλθόνθ' ὁπόσοι
τὴν Διὸς αὐλὴν εἰσοιχνεῦσιν,
διὰ τὴν λίαν φιλότητα βροτῶν.
φεῦ φεῦ, τί ποτ' αὖ κινάθισμα κλύω
πέλας οἰωνῶν; αἰθὴρ δ' ἐλαφραῖς
πτερύγων ῥιπαῖς ὑποσυρίζει.
πᾶν μοι φοβερὸν τὸ προσέρπον.

— — — — — — — — — — —

b. ΧΟΡΟΣ.

Πάντ' ἐκκάλυψον καὶ γέγων' ἡμῖν λόγον,
ποίῳ λαβών σε Ζεὺς ἐπ' αἰτιάματι
οὕτως ἀτίμως καὶ πικρῶς αἰκίζεται·
δίδαξον ἡμᾶς, εἴ τι μὴ βλάπτει λόγῳ.
ΠΡ. *ἀλγεινὰ μέν μοι καὶ λέγειν ἐστὶν τάδε,*
ἄλγος δὲ σιγᾶν, πανταχῇ δὲ δύσποτμα.
ἐπεὶ τάχιστ' ἤρξαντο δαίμονες χόλου
στάσις τ' ἐν ἀλλήλοισιν ὠροθύνετο,
οἱ μὲν θέλοντες ἐκβαλεῖν ἕδρας Κρόνον,
ὡς Ζεὺς ἀνάσσοι δῆθεν, οἱ δὲ τοὔμπαλιν
σπεύδοντες, ὡς Ζεὺς μήποτ' ἄρξειεν θεῶν,
ἐνταῦθ' ἐγὼ τὰ λῷστα βουλεύων πιθεῖν
Τιτᾶνας, Οὐρανοῦ τε καὶ Χθονὸς τέκνα,
οὐκ ἠδυνήθην· αἱμύλας δὲ μηχανὰς
ἀτιμάσαντες καρτεροῖς φρονήμασιν
ᾤοντ' ἀμοχθὶ πρὸς βίαν τε δεσπόσειν.
ἐμοὶ δὲ μήτηρ οὐχ ἅπαξ μόνον, Θέμις

καὶ Γαῖα, πολλῶν ὀνομάτων μορφὴ μία,
τὸ μέλλον ᾗ κραίνοιτο προυτεθεσπίκει,
ὡς οὐ κατ' ἰσχὺν οὐδὲ πρὸς τὸ καρτερὸν
χρείη, δόλῳ δὲ τοὺς ὑπερσχόντας κρατεῖν.
τοιαῦτ' ἐμοῦ λόγοισιν ἐξηγουμένου
οὐκ ἠξίωσαν οὐδὲ προσβλέψαι τὸ πᾶν.
κράτιστα δή μοι τῶν παρεστώτων τότε
ἐφαίνετ' εἶναι προσλαβόντα μητέρα
ἑκόνθ' ἑκόντι Ζηνὶ συμπαραστατεῖν.
ἐμαῖς δὲ βουλαῖς Ταρτάρου μελαμβαθὴς
κευθμὼν καλύπτει τὸν παλαιγενῆ Κρόνον
αὐτοῖσι συμμάχοισι. τοιάδ' ἐξ ἐμοῦ
ὁ τῶν θεῶν τύραννος ὠφελημένος
κακαῖσι ποιναῖς ταῖσδέ μ' ἀντημείψατο.
ἔνεστι γάρ πως τοῦτο τῇ τυραννίδι
νόσημα, τοῖς φίλοισι μὴ πεποιθέναι.
ὃ δ' οὖν ἐρωτᾶτ', αἰτίαν καθ' ἥντινα
αἰκίζεταί με, τοῦτο δὴ σαφηνιῶ.
ὅπως τάχιστα τὸν πατρῷον ἐς θρόνον
καθέζετ', εὐθὺς δαίμοσιν νέμει γέρα
ἄλλοισιν ἄλλα, καὶ διεστοιχίζετο
ἀρχήν, βροτῶν δὲ τῶν ταλαιπώρων λόγον
οὐκ ἔσχεν οὐδέν', ἀλλ' ἀϊστώσας γένος
τὸ πᾶν ἔχρῃζεν ἄλλο φιτῦσαι νέον.
καὶ τοῖσιν οὐδεὶς ἀντέβαινε πλὴν ἐμοῦ.
ἐγὼ δ' ἐτόλμησ'· ἐξελυσάμην βροτοὺς
τὸ μὴ διαρραισθέντας εἰς Ἅιδου μολεῖν.
τῷ τοι τοιαῖσδε πημοναῖσι κάμπτομαι,
πάσχειν μὲν ἀλγειναῖσιν, οἰκτραῖσιν δ' ἰδεῖν·
θνητοὺς δ' ἐν οἴκτῳ θέμενος εἶτ' οἴκτου τυχεῖν
οὐκ ἠξιώθην αὐτός, ἀλλὰ νηλεῶς

ὧδ' ἐρρύθμισμαι, Ζηνὶ δυσκλεὴς θέα.
ΧΟ. σιδηρόφρων τε κἀκ πέτρας εἰργασμένος,
ὅστις, Προμηθεῦ, σοῖσιν οὐ ξυνασχαλᾷ
μόχθοις· ἐγὼ γὰρ οὔτ' ἂν εἰσιδεῖν τάδε
ἔχρῃζον εἰσιδοῦσά τ' ἠλγύνθην κέαρ.
ΠΡ. καὶ μὴν φίλοις ἐλεινὸς εἰσορᾶν ἐγώ.
ΧΟ. μή πού τι προὔβης τῶνδε καὶ περαιτέρω;
ΠΡ. θνητοὺς ἔπαυσα μὴ προδέρκεσθαι μόρον.
ΧΟ. τὸ ποῖον εὑρὼν τῆσδε φάρμακον νόσου;
ΠΡ. τυφλὰς ἐν αὐτοῖς ἐλπίδας κατῴκισα.
ΧΟ. μέγ' ὠφέλημα τοῦτ' ἐδωρήσω βροτοῖς.
ΠΡ. πρὸς τοῖσδε μέντοι πῦρ ἐγώ σφιν ὤπασα.
ΧΟ. καὶ νῦν φλογωπὸν σπέρμ' ἔχουσ' ἐφήμεροι;
ΠΡ. ἀφ' οὗ γε πολλὰς ἐκμαθήσονται τέχνας.
ΧΟ. τοιοῖσδε δή σε Ζεὺς ἐπ' αἰτιάμασιν —
ΠΡ. αἰκίζεταί τε κοὐδαμῇ χαλᾷ κακῶν.
ΧΟ. οὐδ' ἔστιν ἄθλου τέρμα σοι προκείμενον;
ΠΡ. οὐκ ἄλλο γ' οὐδέν, πλὴν ὅταν κείνῳ δοκῇ.
ΧΟ. δόξει δὲ πῶς; τίς ἐλπίς; οὐχ ὁρᾷς ὅτι
ἥμαρτες; ὡς δ' ἥμαρτες οὔτ' ἐμοὶ λέγειν
καθ' ἡδονὴν σοί τ' ἄλγος. ἀλλὰ ταῦτα μὲν
μεθῶμεν, ἄθλου δ' ἔκλυσιν ζήτει τινά.
ΠΡ. ἐλαφρόν, ὅστις πημάτων ἔξω πόδα
ἔχει, παραινεῖν νουθετεῖν τε τὸν κακῶς
πράσσοντ'· ἐγὼ δὲ ταῦθ' ἅπαντ' ἠπιστάμην.
ἑκὼν ἑκὼν ἥμαρτον, οὐκ ἀρνήσομαι·
θνητοῖς ἀρήγων αὐτὸς ηὑρόμην πόνους.
οὐ μήν τι ποιναῖς γ' ᾠόμην τοίαισί με
κατισχνανεῖσθαι πρὸς πέτραις πεδαρσίοις,
τυχόντ' ἐρήμου τοῦδ' ἀγείτονος πάγου.
καί μοι τὰ μὲν παρόντα μὴ δύρεσθ' ἄχη,

πέδοι δὲ βᾶσαι τὰς προσερπούσας τύχας
ἀκούσαθ', ὡς μάθητε διὰ τέλους τὸ πᾶν.
πίθεσθέ μοι, πίθεσθε, συμπονήσατε
τῷ νῦν μογοῦντι. ταὐτά τοι πλανωμένη
πρὸς ἄλλοτ' ἄλλον πημονὴ προσιζάνει.

V. Prometheus et Io iniurias a Iove acceptas inter se conqueruntur.

(Aeschyl. Prometh. 609—686. cf. fasc. I p. 33.)

Ad Promethea Caucaso affixum, qui choro i. e. Oceani filiabus modo (cf. v. 7) suorum malorum molem enarravit, Io, filia Inachi, item ex Oceano nati (v. 28), furiis exagitata errans advenit.

ΠΡΟΜΗΘΕΥΣ.

Λέξω τορῶς σοι πᾶν ὅπερ χρήζεις μαθεῖν,
οὐκ ἐμπλέκων αἰνίγματ', ἀλλ' ἁπλῷ λόγῳ,
ὥσπερ δίκαιον πρὸς φίλους οἴγειν στόμα·
πυρὸς βροτοῖς δοτῆρ' ὁρᾷς Προμηθέα.

ΙΩ.

ὦ κοινὸν ὠφέλημα θνητοῖσιν φανείς,
τλῆμον Προμηθεῦ, τοῦ δίκην πάσχεις τάδε;
ΠΡ. *ἁρμοῖ πέπαυμαι τοὺς ἐμοὺς θρηνῶν πόνους.*
ΙΩ. *οὔκουν πόροις ἂν τήνδε δωρειὰν ἐμοί;*
ΠΡ. *λέγ' ἥντιν' αἰτεῖ· πᾶν γὰρ ἂν πύθοιό μου.*
ΙΩ. *σήμηνον ὅστις ἐν φάραγγί σ' ὤχμασεν.*
ΠΡ. *βούλευμα μὲν τὸ Δῖον, Ἡφαίστου δὲ χείρ.*
ΙΩ. *ποίων δὲ ποινὰς ἀμπλακημάτων τίνεις;*
ΠΡ. *τοσοῦτον ἀρκῶ σοι σαφηνίσας μόνον.*
ΙΩ. *καὶ πρός γε τούτοις τέρμα τῆς ἐμῆς πλάνης*
δεῖξον τίς ἔσται τῇ ταλαιπώρῳ χρόνος.
ΠΡ. *τὸ μὴ μαθεῖν σοι κρεῖσσον ἢ μαθεῖν τάδε.*
ΙΩ. *μήτοι με κρύψῃς τοῦθ' ὅπερ μέλλω παθεῖν.*

ΠΡ. *ἀλλ᾽ οὐ μεγαίρω τοῦδέ σοι δωρήματος.*
ΙΩ. *τί δῆτα μέλλεις μὴ οὐ γεγωνίσκειν τὸ πᾶν;*
ΠΡ. *φθόνος μὲν οὐδείς, σὰς δ᾽ ὀκνῶ θρᾶξαι φρένας.*
ΙΩ. *μή μου προκήδου μᾶσσον, ὡς ἐμοὶ γλυκύ.*
ΠΡ. *ἐπεὶ προθυμεῖ, χρὴ λέγειν· ἄκουε δή.*

ΧΟΡΟΣ.

μήπω γε· μοῖραν δ᾽ ἡδονῆς κἀμοὶ πόρε.
τὴν τῆσδε πρῶτον ἱστορήσωμεν νόσον,
αὐτῆς λεγούσης τὰς πολυφθόρους τύχας·
τὰ λοιπὰ δ᾽ ἄθλων σοῦ διδαχθήτω πάρα.
ΠΡ. *σὸν ἔργον, Ἰοῖ, ταῖσδ᾽ ὑπουργῆσαι χάριν,*
ἄλλως τε πάντως καὶ κασιγνήταις πατρός.
ὡς τἀποκλαῦσαι κἀποδύρασθαι τύχας
ἐνταῦθ᾽ ὅπου μέλλοι τις οἴσεσθαι δάκρυ
πρὸς τῶν κλυόντων, ἀξίαν τριβὴν ἔχει.
ΙΩ. *οὐκ οἶδ᾽ ὅπως ὑμῖν ἀπιστῆσαί με χρή,*
σαφεῖ δὲ μύθῳ πᾶν ὅπερ προσχρῄζετε
πεύσεσθε· καίτοι καὶ λέγουσ᾽ αἰσχύνομαι
θεόσσυτον χειμῶνα καὶ διαφθορὰν
μορφῆς, ὅθεν μοι σχετλίᾳ προσέπτατο.
ἀεὶ γὰρ ὄψεις ἔννυχοι πωλεύμεναι
ἐς παρθενῶνας τοὺς ἐμοὺς παρηγόρουν
λείοισι μύθοις· ‛ὦ μέγ᾽ εὔδαιμον κόρη,
τί παρθενεύει δαρόν, ἐξόν σοι γάμου
τυχεῖν μεγίστου; Ζεὺς γὰρ ἱμέρου βέλει
πρὸς σοῦ τέθαλπται καὶ συναίρεσθαι Κύπριν
θέλει· σὺ δ᾽, ὦ παῖ, μὴ ᾽πολακτίσῃς λέχος
τὸ Ζηνός, ἀλλ᾽ ἔξελθε πρὸς Λέρνης βαθὺν
λειμῶνα, ποίμνας βουστάσεις τε πρὸς πατρός,
ὡς ἂν τὸ Δῖον ὄμμα λωφήσῃ πόθου᾽.
τοιοῖσδε πάσας εὐφρόνας ὀνείρασιν

συνειχόμην δύστηνος, ἔστε δὴ πατρὶ
ἔτλην γεγωνεῖν νυκτίφαντ' ὀνείρατα.
ὁ δ' ἔς τε Πυθὼ κἀπὶ Δωδώνης πυκνοὺς
θεοπρόπους ἴαλλεν, ὡς μάθοι τί χρὴ
δρῶντ' ἢ λέγοντα δαίμοσιν πράσσειν φίλα.
ἧκον δ' ἀναγγέλλοντες αἰολοστόμους
χρησμοὺς ἀσήμους δυσκρίτως τ' εἰρημένους.
τέλος δ' ἐναργὴς βάξις ἦλθεν Ἰνάχῳ
σαφῶς ἐπισκήπτουσα καὶ μυθουμένη
ἔξω δόμων τε καὶ πάτρας ὠθεῖν ἐμέ,
ἄφετον ἀλᾶσθαι γῆς ἐπ' ἐσχάτοις ὅροις·
κεἰ μὴ θέλοι, πυρωπὸν ἐκ Διὸς μολεῖν
κεραυνόν, ὃς πᾶν ἐξαϊστώσοι γένος.
τοιοῖσδε πεισθεὶς Λοξίου μαντεύμασιν
ἐξήλασέν με κἀπέκλῃσε δωμάτων,
ἄκουσαν ἄκων· ἀλλ' ἐπηνάγκαζέ νιν
Διὸς χαλινὸς πρὸς βίαν πράσσειν τάδε.
εὐθὺς δὲ μορφὴ καὶ φρένες διάστροφοι
ἦσαν, κεραστὶς δ', ὡς ὁρᾶτ', ὀξυστόμῳ
μύωπι χρισθεῖσ' ἐμμανεῖ σκιρτήματι
ᾖσσον πρὸς εὔποτόν τε Κερχνείας ῥέος
Λέρνης τε κρήνην· βουκόλος δὲ γηγενὴς
ἄκρατος ὀργὴν Ἄργος ὡμάρτει, πυκνοῖς
ὄσσοις δεδορκὼς τοὺς ἐμοὺς κατὰ στίβους.
ἀπροσδόκητος δ' αὐτὸν ἐξαίφνης μόρος
τοῦ ζῆν ἀπεστέρησεν. οἰστροπλὴξ δ' ἐγὼ
μάστιγι θείᾳ γῆν πρὸ γῆς ἐλαύνομαι.
κλύεις τὰ πραχθέντ'· εἰ δ' ἔχεις εἰπεῖν ὅ τι
λοιπὸν πόνων, σήμαινε· μηδέ μ' οἰκτίσας
σύνθαλπε μύθοις ψευδέσιν· νόσημα γὰρ
αἴσχιστον εἶναί φημι συνθέτους λόγους.

VI. Polynicis corpus sepeliri praeco publice vetat repugnante Antigona.

(Aeschyl. Sept. 1005—1078. cf. fasc. I p. 33.)

Quae in extrema fabula chorus virginum Thebanarum loquitur, inter coryphaeum et duces hemichoriorum divisa sunt.

ΚΗΡΥΞ.

Δοκοῦντα καὶ δόξαντ' ἀπαγγέλλειν με χρὴ
δήμου προβούλοις τῆσδε Καδμείας πόλεως·
'Ετεοκλέα μὲν τόνδ', ἐπ' εὐνοίᾳ χθονὸς
τεθνηκόθ' οὕπερ τοῖς νέοις θνῄσκειν καλόν,
θάπτειν ἔδοξε γῆς φίλαις κατασκαφαῖς.
οὕτω μὲν ἀμφὶ τοῦδ' ἐπέσταλται λέγειν·
τούτου δ' ἀδελφὸν τόνδε Πολυνείκους νεκρὸν
ἔξω βαλεῖν ἄθαπτον, ἁρπαγὴν κυσίν,
ὡς ὄντ' ἀναστατῆρα Καδμείων χθονός,
εἰ μὴ θεῶν τις ἐμποδὼν ἔστη δορὶ
τῷ τοῦδ'. ἄγος δὲ καὶ θανὼν κεκτήσεται
θεῶν πατρῴων, οὓς ἀτιμάσας ὅδε
στράτευμ' ἐπακτὸν ἐμβαλὼν ᾕρει πόλιν.
οὕτω πετηνῶν τόνδ' ὑπ' οἰωνῶν δοκεῖ
ταφέντ' ἀτίμως τοὐπιτίμιον λαβεῖν,
καὶ μήθ' ὁμαρτεῖν τυμβοχόα χειρώματα
μήτ' ὀξυμόλποις προσσέβειν οἰμώγμασιν,
ἄτιμον εἶναι δ' ἐκφορᾶς φίλων ὕπο.
τοιαῦτ' ἔδοξε τῷδε Καδμείων τέλει.

ΑΝΤΙΓΟΝΗ.

ἐγὼ δὲ Καδμείων γε προστάταις λέγω,
ἢν μή τις ἄλλος τόνδε συνθάπτειν θέλῃ,
ἐγώ σφε θάψω κἀνὰ κίνδυνον βαλῶ
θρηνοῦσ' ἀδελφὸν τὸν ἐμόν, οὐδ' αἰσχύνομαι
ἄπιστος οὖσα τῆσδ' ἐπιστολαῖς πόλεως.

τάφον γὰρ αὐτὴ καὶ κατασκαφὰς ἐγώ,
γυνή περ οὖσα, τῷδε μηχανήσομαι
καὐτὴ καλύψω. μηδέ τῳ δόξῃ πάλιν·
θάρσει παρέσται μηχανὴ δραστήριος.
ΚΗ. αὐδῶ πόλιν σε μὴ βιάζεσθαί τάδε.
ΑΝ. αὐδῶ σε μὴ περισσὰ κηρύσσειν ἐμοί.
ΚΗ. τραχύς γε μέντοι δῆμος ἐκφυγὼν κακά.
ΑΝ. τραχὺς δ' ἄθαπτος οὗτος οὐ γενήσεται;
ΗΚ. ἀλλ' ὃν πόλις στυγεῖ, σὺ τιμήσεις τάφῳ;
ΑΝ. ἤδη τὰ τοῦδ' οὐ δίχα τετίμηται θεοῖς.
ΚΗ. οὔ, πρίν γε χώραν τήνδε κινδύνῳ βαλεῖν.
ΑΝ. παθὼν κακῶς κακοῖσιν ἀντημείβετο.
ΚΗ. ἀλλ' εἰς ἅπαντας ἀνθ' ἑνὸς τόδ' ἔργον ἦν.
ΑΝ. ἐγὼ δὲ θάψω τόνδε· μὴ μακρηγόρει.
ΚΗ. ἀλλ' αὐτόβουλος ἴσθ', ἀπεννέπω δ' ἐγώ.

ΧΟΡΟΣ.

Φεῦ φεῦ.
ὦ μεγάλαυχοι καὶ φθερσιγενεῖς
Κῆρες Ἐρινύες, αἵτ' Οἰδιπόδα
γένος ὠλέσατε πρέμνοθεν οὕτως,
τί πάθω; τί δὲ δρῶ; τί δὲ μήσωμαι;
πῶς τολμήσω μήτε σὲ κλάειν
  μήτε προπέμπειν ἐπὶ τύμβῳ;
ἀλλὰ φοβοῦμαι κἀποτρέπομαι
δεῖμα πολιτῶν.
σύ γε μὴν πολλῶν πενθητήρων
τεύξει· κεῖνος δ' ὁ τάλας ἄγοος
μονόκλαυτον ἔχων θρῆνον ἀδελφῆς
  εἶσιν· τίς ἂν οὖν τὰ πίθοιτο;
ΗΜ. δράτω τι πόλις καὶ μὴ δράτω
  τοὺς κλάοντας Πολυνείκη·

ἡμεῖς μὲν ἴμεν καὶ συνθάψομεν
αἵδε προπομποί. καὶ γὰρ γενεᾷ
τῇ Καδμογενεῖ κοινὸν τόδ' ἄχος,
καὶ πόλις ἄλλως
ἄλλοτ' ἐπαινεῖ τὰ δίκαια.
ΗΜ. ἡμεῖς δ' ἅμα τῷδ', ὥσπερ τε πόλις
καὶ τὸ δίκαιον ξυνεπαινεῖ.
μετὰ γὰρ μάκαρας καὶ Διὸς ἰσχὺν
ὅδε Καδμείων ἤρυξε πόλιν
μὴ ἀνατραπῆναι μηδ' ἀλλοδαπῷ
κύματι φωτῶν
κατακλυσθῆναι τὰ μάλιστα.

VII. Cassandra

(Aeschyl. Agam. 1256—1294. cf. fasc. I p. 33.)

antequam a Clytemestra iussa regiam intrat, imminens sibi quoque ab illa fatum lamentatur et fore ut ultor scelerum exoriatur praedicit; cf. Schilleri 'Kassandra'. — v. 10 sqq. dum loquitur Cassandra et scipionem et coronam abicit (ad utrumque referendum est v. 12 sq. σέ et ἴτε); v. 31 πράττειν ὑπτίασμα = ulcisci caedem.

Οἷον τόδ' ἕρπει πῦρ· ἐπέρχεται δ' ἐμοί.
ὀτοτοῖ, Λύκει' Ἄπολλον, οἳ ἐγὼ ἐγώ.
αὕτη δίπους λέαινα συγκοιμωμένη
λύκῳ, λέοντος εὐγενοῦς ἀπουσίᾳ,
κτενεῖ με τὴν τάλαιναν· ὡς δὲ φάρμακον
τεύχουσα κἀμοῦ μισθὸν ἐνθήσει ποτῷ,
κἀπεύχεται, θήγουσα φωτὶ φάσγανον,
ἐμῆς ἀγωγῆς ἀντιτείσεσθαι φόνον.
τί δῆτ' ἐμαυτῆς καταγέλωτ' ἔχω τάδε,
καὶ σκῆπτρα καὶ μαντεῖα περὶ δέρῃ στέφη;
σὲ μὲν πρὸ μοίρας τῆς ἐμῆς διαφθερῶ.
ἴτ' ἐς φθόρον πεσόντ', ἐγὼ δ' ἅμ' ἕψομαι.

ἄλλην τιν' ἄτης ἀντ' ἐμοῦ πλουτίζετε.
ἰδοὺ δ' Ἀπόλλων αὐτὸς ἐκδύων ἐμὲ
χρηστηρίαν ἐσθῆτ', ἐποπτεύσας ἐμὲ
κἀν τοῖσδε κόσμοις καταγελωμένην μέγαν
γέλων ὑπ' ἐχθρῶν, οὐ διχορρόπως μάθεῖν.
καλουμένη δέ, φοιτὰς ὡς ἀγύρτρια,
πτωχός, τάλαινα, λιμοθνὴς ἠνεσχόμην.
καὶ νῦν ὁ μάντις μάντιν ἐκπράξας ἐμὲ
ἀπήγαγ' ἐς τοιάσδε θανασίμους τύχας.
βωμοῦ πατρῴου δ' ἀντ' ἐπίξηνον μένει,
θερμῷ κοπείσης φοίνιον προσφάγματι.
οὐ μὴν ἄτιμοί γ' ἐκ θεῶν τεθνήξομεν.
ἥξει γὰρ ἡμῶν ἄλλος αὖ τιμάορος,
μητροκτόνον φίτυμα, ποινάτωρ πατρός·
φυγὰς δ' ἀλήτης τῆσδε γῆς ἀπόξενος
κάτεισιν, ἄτας τάσδε θριγκώσων φίλοις·
ὀμώμοται γὰρ ὅρκος ἐκ θεῶν μέγας,
πράξειν νιν ὑπτίασμα κειμένου πατρός.
τί δῆτ' ἐγὼ κάτοικτος ὧδ' ἀναστένω;
ἐπεὶ τὸ πρῶτον εἶδον Ἰλίου πόλιν
πράξασαν ὡς ἔπραξεν, οἳ δ' εἷλον πόλιν
οὕτως ἀπαλλάσσουσιν ἐν θεῶν κρίσει,
ἰοῦσα κἀγὼ τλήσομαι τὸ κατθανεῖν.
Ἅιδου πύλας δὴ τάσδ' ἐγὼ προσεννέπω·
ἐπεύχομαι δὲ καιρίας πληγῆς τυχεῖν,
ὡς ἀσφάδαστος, αἱμάτων εὐθνησίμων
ἀπορρυέντων, ὄμμα συμβάλω τόδε.

VIII. Darei umbra

(Aeschyl. Pers. 681—842. cf. fasc. I p. 33.)
a choro senum Persarum excitata ex Atossa vidua de suorum calamitate ac regni exitio comperit, plura ipse aperturus. — v. 148 κεχρημένος = δεόμενος.

ΕΙΔΩΛΟΝ ΔΑΡΕΙΟΥ.

Ὦ πιστὰ πιστῶν ἥλικές θ' ἥβης ἐμῆς
Πέρσαι γεραιοί, τίνα πόλις πονεῖ πόνον;
στένει, κέκοπται, καὶ χαράσσεται πέδον.
λεύσσων δ' ἄκοιτιν τὴν ἐμὴν τάφου πέλας
ταρβῶ, χοὰς δὲ πρευμενὴς ἐδεξάμην.
ὑμεῖς δὲ θρηνεῖτ' ἐγγὺς ἑστῶτες τάφου
καὶ ψυχαγωγοῖς ὀρθιάζοντες γόοις
οἰκτρῶς καλεῖσθέ μ'· ἐστὶ δ' οὐκ εὐέξοδον,
ἄλλως τε πάντως χοἱ κατὰ χθονὸς θεοὶ
λαβεῖν ἀμείνους εἰσὶν ἢ μεθιέναι.
ὅμως δ' ἐκείνοις ἐνδυναστεύσας ἐγὼ
ἥκω. τάχυνε δ', ὡς ἄμεμπτος ὦ χρόνου·
τί ἐστι Πέρσαις νεοχμὸν ἐμβριθὲς κακόν;

ΧΟΡΟΣ.

σέβομαι μὲν προσιδέσθαι,
σέβομαι δ' ἀντία λέξαι
σέθεν ἀρχαίῳ περὶ τάρβει.

ΔΑ. *ἀλλ' ἐπεὶ κάτωθεν ἦλθον σοῖς γόοις πεπεισμένος,*
μή τι μακιστῆρα μῦθον, ἀλλὰ σύντομον λέγων
εἰπὲ καὶ πέραινε πάντα, τὴν ἐμὴν αἰδῶ μεθείς.

ΧΟ. *δίεμαι μὲν χαρίσασθαι,* Ant.
δίεμαι δ' ἀντία φάσθαι,
λέξας δύσλεκτα φίλοισιν.

ΔΑ. *ἀλλ' ἐπεὶ δέος παλαιὸν σοὶ φρενῶν ἀνθίσταται,*
τῶν ἐμῶν λέκτρων γεραιὰ ξύννομ', εὐγενὲς γύναι,
κλαυμάτων λήξασα τῶνδε καὶ γόων σαφές τί μοι
λέξον. ἀνθρώπεια δή τοι πήματ' ἂν τύχοι βροτοῖς.
πολλὰ μὲν γὰρ ἐκ θαλάσσης, πολλὰ δ' ἐκ χέρσου κακὰ
γίγνεται θνητοῖς, ὁ μάσσων βίοτος ἢν ταθῇ πρόσω.

ΑΤΟΣΣΑ.

ὦ βροτῶν πάντων ὑπερσχὼν ὄλβον εὐτυχεῖ πότμῳ,
ὃς θ' ἕως ἔλευσσες αὐγὰς ἡλίου, ζηλωτὸς ὢν
βίοτον εὐαίωνα Πέρσαις ὡς θεὸς διήγαγες,
νῦν τέ σε ζηλῶ θανόντα, πρὶν κακῶν ἰδεῖν βάθος·
πάντα γάρ, Δαρεῖ', ἀκούσει μῦθον ἐν βραχεῖ λόγῳ·
διαπεπόρθηται τὰ Περσῶν πράγμαθ', ὡς εἰπεῖν ἔπος.

ΔΑ. *τίνι τρόπῳ; λοιμοῦ τις ἦλθε σκῆπτος, ἢ στάσις πόλει;*
ΑΤ. *οὐδαμῶς· ἀλλ' ἀμφ' Ἀθήνας πᾶς κατέφθαρται στρατός.*
ΔΑ. *τίς δ' ἐμῶν ἐκεῖσε παίδων ἐστρατηλάτει; φράσον.*
ΑΤ. *θούριος Ξέρξης, κενώσας πᾶσαν ἠπείρου πλάκα.*
ΔΑ. *πεζὸς ἢ ναύτης δὲ πεῖραν τήνδ' ἐμώρανεν τάλας;*
ΑΤ. *ἀμφότερα· διπλοῦν μέτωπον ἦν δυοῖν στρατευμάτοιν.*
ΔΑ. *πῶς δὲ καὶ στρατὸς τοσόσδε πεζὸς ἤνυσεν περᾶν;*
ΑΤ. *μηχαναῖς ἔζευξεν Ἕλλης πορθμόν, ὥστ' ἔχειν πόρον.*
ΔΑ. *καὶ τόδ' ἐξέπραξεν, ὥστε Βόσπορον κλῇσαι μέγαν;*
ΑΤ. *ὧδ' ἔχει· γνώμης δέ πού τις δαιμόνων ξυνήψατο.*
ΔΑ. *φεῦ, μέγας τις ἦλθε δαίμων, ὥστε μὴ φρονεῖν καλῶς.*
ΑΤ. *ὡς ἰδεῖν τέλος πάρεστιν οἷον ἤνυσεν κακόν.*
ΔΑ. *καὶ τί δὴ πράξασιν αὐτοῖς ὧδ' ἐπιστενάζετε;*
ΑΤ. *ναυτικὸς στρατὸς κακωθεὶς πεζὸν ὤλεσε στρατόν.*
ΔΑ. *ὧδε παμπήδην δὲ λαὸς πᾶς κατέφθαρται δορί;*
ΑΤ. *πρὸς τάδ' ὡς Σούσων μὲν ἄστυ πᾶν κενανδρίαν στένει,*
ΔΑ. *ὢ πόποι κεδνῆς ἀρωγῆς κἀπικουρίας στρατοῦ.*

ΑΤ. Βακτρίων δ' ἔρρει πανώλης δῆμος, οὐδέ τις πέρι.
ΔΑ. ὢ μέλεος, οἵαν ἄρ' ἥβην ξυμμάχων ἀπώλεσεν.
ΑΤ. μονάδα δὲ Ξέρξην ἔρημόν φασιν οὐ πολλῶν μέτα
ΔΑ. πῶς τε δὴ καὶ ποῖ τελευτᾶν; ἔστι τις σωτηρία;
ΑΤ. ἄσμενον μολεῖν γέφυραν γαῖν δυοῖν ζευκτηρίαν.
ΔΑ. καὶ πρὸς ἤπειρον σεσῶσθαι τήνδε, τοῦτ' ἐτήτυμον;
ΑΤ. ναί· λόγος κρατεῖ σαφηνὴς τοῦτο κοὐκ ἔνι στάσις.
ΔΑ. φεῦ, ταχεῖά γ' ἦλθε χρησμῶν πρᾶξις, ἐς δὲ παῖδ' ἐμὸν
Ζεὺς ἀπέσκηψεν τελευτὴν θεσφάτων· ἐγὼ δέ που
διὰ μακροῦ χρόνου τάδ' ηὔχουν ἐκτελευτήσειν θεούς·
ἀλλ' ὅταν σπεύδῃ τις αὐτός, χὠ θεὸς συνάπτεται.
νῦν κακῶν ἔοικε πηγὴ πᾶσιν ηὑρῆσθαι φίλοις.
παῖς δ' ἐμὸς τάδ' οὐ κατειδὼς ἤνυσεν νέῳ θράσει·
ὅστις Ἑλλήσποντον ἱρὸν δοῦλον ὣς δεσμώμασιν
ἤλπισε σχήσειν ῥέοντα, Βόσπορον ῥόον θεοῦ·
καὶ πόρον μετερρύθμιζε, καὶ πέδαις σφυρηλάτοις
περιβαλὼν πολλὴν κέλευθον ἤνυσεν πολλῷ στρατῷ,
θεῶν δὲ θνητὸς ὢν ἁπάντων ᾤετ', οὐκ εὐβουλίᾳ,
καὶ Ποσειδῶνος κρατήσειν. πῶς τάδ' οὐ νόσος φρενῶν
εἶχε παῖδ' ἐμόν; δέδοικα μὴ πολὺς πλούτου πόρος
οὑμὸς ἀνθρώποις γένηται τοῦ φθάσαντος ἁρπαγή.
ΑΤ. ταῦτά τοι κακοῖς ὁμιλῶν ἀνδράσιν διδάσκεται
θούριος Ξέρξης· λέγουσι δ' ὡς σὺ μὲν μέγαν τέκνοις
πλοῦτον ἐκτήσω ξὺν αἰχμῇ, τὸν δ' ἀνανδρίας ὕπο
ἔνδον αἰχμάζειν, πατρῷον δ' ὄλβον οὐδὲν αὐξάνειν.
τοιάδ' ἐξ ἀνδρῶν ὀνείδη πολλάκις κλύων κακῶν

τήνδ' ἐβούλευσεν κέλευθον καὶ στράτευμ' ἐφ' Ἑλλάδα.
ΔΑ. τοιγάρ σφιν ἔργον ἐστὶν ἐξειργασμένον
μέγιστον, ἀείμνηστον, οἷον οὐδέπω
τόδ' ἄστυ Σούσων ἐξεκείνωσεν πεσόν,
ἐξ οὗτε τιμὴν Ζεὺς ἄναξ τήνδ' ὤπασεν,
ἕν' ἄνδρ' ἁπάσης Ἀσίδος μηλοτρόφου
ταγεῖν, ἔχοντα σκῆπτρον εὐθυντήριον.
Μῆδος γὰρ ἦν ὁ πρῶτος ἡγεμὼν στρατοῦ·
ἄλλος δ' ἐκείνου παῖς τόδ' ἔργον ἤνυσεν·
φρένες γὰρ αὐτοῦ θυμὸν ᾠακοστρόφουν.
τρίτος δ' ἀπ' αὐτοῦ Κῦρος, εὐδαίμων ἀνήρ,
ἄρξας ἔθηκε πᾶσιν εἰρήνην φίλοις·
Λυδῶν δὲ λαὸν καὶ Φρυγῶν ἐκτήσατο,
Ἰωνίαν τε πᾶσαν ἤλασεν βίᾳ·
θεὸς γὰρ οὐκ ἤχθηρεν, ὡς εὔφρων ἔφυ.
Κύρου δὲ παῖς τέταρτος ἴθυνε στρατόν.
πέμπτος δὲ Μάρδις ἦρξεν, αἰσχύνη πάτρᾳ
θρόνοισί τ' ἀρχαίοισι· τὸν δὲ σὺν δόλῳ
Ἀρταφρένης ἔκτεινεν ἐσθλὸς ἐν δόμοις,
ξὺν ἀνδράσιν φίλοισιν, οἷς τόδ' ἦν χρέος.
κἀγὼ πάλου τ' ἔκυρσα τοῦπερ ἤθελον,
κἀπεστράτευσα πολλὰ σὺν πολλῷ στρατῷ·
ἀλλ' οὐ κακὸν τοσόνδε προσέβαλον πόλει.
Ξέρξης δ' ἐμὸς παῖς ὢν νέος φρονεῖ νέα,
κοὐ μνημονεύει τὰς ἐμὰς ἐπιστολάς·
εὖ γὰρ σαφῶς τόδ' ἴστ', ἐμοὶ ξυνήλικες,
ἅπαντες ἡμεῖς, οἳ κράτη τάδ' ἔσχομεν,
οὐκ ἂν φανεῖμεν πήματ' ἔρξαντες τόσα.
ΧΟ. τί οὖν, ἄναξ Δαρεῖε, ποῖ καταστρέφεις
λόγων τελευτήν; πῶς ἂν ἐκ τούτων ἔτι

πράσσοιμεν ὡς ἄριστα Περσικὸς λεώς;
ΔΑ. *εἰ μὴ στρατεύοισθ' ἐς τὸν Ἑλλήνων τόπον,*
μηδ' εἰ στράτευμα πλεῖον ᾖ τὸ Μηδικόν·
αὐτὴ γὰρ ἡ γῆ ξύμμαχος κείνοις πέλει.
ΧΟ. *πῶς τοῦτ' ἔλεξας, τίνι τρόπῳ δὲ συμμαχεῖ;*
ΔΑ. *κτείνουσα λιμῷ τοὺς ὑπερπόλλους ἄγαν.*
ΧΟ. *ἀλλ' εὐσταλῆ τοι λεκτὸν ἀροῦμεν στόλον.*
ΔΑ. *ἀλλ' οὐδ' ὁ μείνας νῦν ἐν Ἑλλάδος τόποις*
στρατὸς κυρήσει νοστίμου σωτηρίας.
ΧΟ. *πῶς εἶπας; οὐ γὰρ πᾶν στράτευμα βαρβάρων*
περᾷ τὸν Ἕλλης πορθμὸν Εὐρώπης ἄπο;
ΔΑ. *παῦροί γε πολλῶν, εἴ τι πιστεῦσαι θεῶν*
χρὴ θεσφάτοισιν, ἐς τὰ νῦν πεπραγμένα
βλέψαντα· συμβαίνει γὰρ οὐ τὰ μέν, τὰ δ' οὔ.
κεἴπερ τάδ' ἐστί, πλῆθος ἔκκριτον στρατοῦ
λείπει κεναῖσιν ἐλπίσιν πεπεισμένος.
μίμνουσι δ' ἔνθα πεδίον Ἀσωπὸς ῥοαῖς
ἄρδει, φίλον πίασμα Βοιωτῶν χθονί·
οὗ σφιν κακῶν ὕψιστ' ἐπαμμένει παθεῖν,
ὕβρεως ἄποινα κἀθέων φρονημάτων·
οἳ γῆν μολόντες Ἑλλάδ' οὐ θεῶν βρέτη
ᾐδοῦντο συλᾶν οὐδὲ πιμπράναι νεώς·
βωμοὶ δ' ἄϊστοι, δαιμόνων θ' ἱδρύματα
πρόρριζα φύρδην ἐξανέστραπται βάθρων.
τοιγὰρ κακῶς δράσαντες οὐκ ἐλάσσονα
πάσχουσι, τὰ δὲ μέλλουσι, κοὐδέπω κακῶν
κρηπὶς ὕπεστιν, ἀλλ' ἔτ' ἐκπιδύεται.
τόσος γὰρ ἔσται πέλανος αἱματοσφαγὴς
πρὸς γῇ Πλαταιῶν Δωρίδος λόγχης ὕπο·
νεκρῶν δὲ θῖνες καὶ τριτοσπόρῳ γονῇ
ἄφωνα σημανοῦσιν ὄμμασιν βροτῶν

ὡς οὐχ ὑπέρφευ θνητὸν ὄντα χρὴ φρονεῖν.
ὕβρις γὰρ ἐξανθοῦσ' ἐκάρπωσε στάχυν
ἄτης, ὅθεν πάγκλαυτον ἐξαμᾷ θέρος.
τοιαῦθ' ὁρῶντες τῶνδε τἀπιτίμια
μέμνησθ' Ἀθηνῶν Ἑλλάδος τε, μηδέ τις
ὑπερφρονήσας τὸν παρόντα δαίμονα
ἄλλων ἐρασθεὶς ὄλβον ἐκχέῃ μέγαν.
Ζεύς τοι κολαστὴς τῶν ὑπερκόπων ἄγαν
φρονημάτων ἔπεστιν, εὔθυνος βαρύς.
πρὸς ταῦτ' ἐκεῖνον σωφρονεῖν κεχρημένον
πινύσκετ' εὐλόγοισι νουθετήμασιν,
λῆξαι θεοβλαβοῦνθ' ὑπερκόμπῳ θράσει.
σὺ δ', ὦ γεραιὰ μῆτερ ἡ Ξέρξου φίλη,
ἐλθοῦσ' ἐς οἴκους κόσμον ὅστις εὐπρεπὴς
λαβοῦσ' ὑπαντίαζε παιδί. παντὶ γὰρ
κακῶν ὑπ' ἄλγους λακίδες ἀμφὶ σώματι
στημορραγοῦσι ποικίλων ἐσθημάτων.
ἀλλ' αὐτὸν εὐφρόνως σὺ πραΰνον λόγοις·
μόνης γάρ, οἶδα, σοῦ κλύων ἀνέξεται.
ἐγὼ δ' ἄπειμι γῆς ὑπὸ ζόφον κάτω.
ὑμεῖς δέ, πρέσβεις, χαίρετ', ἐν κακοῖς ὅμως
ψυχὴν διδόντες ἡδονῇ καθ' ἡμέραν,
ὡς τοῖς θανοῦσι πλοῦτος οὐδὲν ὠφελεῖ.

IX. Creusae et Creontis mors a Medea parata narratur a nuntio.

(Euripidis Med. 1122—1230 ed. Nauck. cf. fasc. I p. 50.)

ΑΓΓΕΛΟΣ.

ὦ δεινὸν ἔργον παράνομόν τ' εἰργασμένη
Μήδεια, φεῦγε φεῦγε, μήτε ναΐαν
λιποῦσ' ἀπήνην μήτ' ὄχον πεδοστιβῆ.

ΜΗΔΕΙΑ.

τί δ' ἄξιόν μοι τῆσδε τυγχάνει φυγῆς;
ΑΓ. ὄλωλεν ἡ τύραννος ἀρτίως κόρη
Κρέων θ' ὁ φύσας φαρμάκων τῶν σῶν ὕπο.
ΜΗ. κάλλιστον εἶπας μῦθον, ἐν δ' εὐεργέταις
τὸ λοιπὸν ἤδη καὶ φίλοις ἐμοῖς ἔσει.
ΑΓ. τί φῄς; φρονεῖς μὲν ὀρθὰ κοὐ μαίνει, γύναι,
ἥτις τυράννων ἑστίαν ᾐκισμένην
χαίρεις κλύουσα κοὐ φοβεῖ τὰ τοιάδε;
ΜΗ. ἔχω τι κἀγὼ τοῖσδε σοῖς ἐναντίον
λόγοισιν εἰπεῖν· ἀλλὰ μὴ σπέρχου, φίλος,
λέξον δ' ὅπως ὤλοντο· δὶς τόσον γὰρ ἂν
τέρψειας ἡμᾶς, εἰ τεθνᾶσι παγκάκως.
ΑΓ. ἐπεὶ τέκνων σῶν ἦλθε δίπτυχος γονὴ
σὺν πατρὶ καὶ παρῆλθε νυμφικοὺς δόμους,
ἥσθημεν οἵπερ σοῖς ἐκάμνομεν κακοῖς
δμῶες· δι' οἴκων δ' εὐθὺς ἦν πολὺς λόγος
σὲ καὶ πόσιν σὸν νεῖκος ἐσπεῖσθαι τὸ πρίν.
κυνεῖ δ' ὃ μέν τις χεῖρ', ὃ δὲ ξανθὸν κάρα
παίδων· ἐγὼ δὲ καὐτὸς ἡδονῆς ὕπο
στέγας γυναικῶν σὺν τέκνοις ἅμ' ἑσπόμην.
δέσποινα δ' ἣν νῦν ἀντὶ σοῦ θαυμάζομεν,
πρὶν μὲν τέκνων σῶν εἰσιδεῖν ξυνωρίδα,
πρόθυμον εἶχ' ὀφθαλμὸν εἰς Ἰάσονα·
ἔπειτα μέντοι προὐκαλύψατ' ὄμματα,
λευκήν τ' ἀπέστρεψ' ἔμπαλιν παρηίδα,
παίδων μυσαχθεῖσ' εἰσόδους· πόσις δὲ σὸς
ὀργὰς ἀφῄρει καὶ χόλον νεάνιδος
λέγων τάδ'· 'οὐ μὴ δυσμενὴς ἔσει φίλοις,
παύσει δὲ θυμοῦ καὶ πάλιν στρέψεις κάρα,
φίλους νομίζουσ' οὕσπερ ἂν πόσις σέθεν,

δέξει δὲ δῶρα καὶ παραιτήσει πατρὸς
φυγὰς ἀφεῖναι παισὶ τοῖσδ' ἐμὴν χάριν;'
ἡ δ' ὡς ἐσεῖδε κόσμον, οὐκ ἠνέσχετο,
ἀλλ' ᾔνεσ' ἀνδρὶ πάντα, καὶ πρὶν ἐκ δόμων
μακρὰν ἀπεῖναι πατέρα καὶ παῖδας σέθεν,
λαβοῦσα πέπλους ποικίλους ἠμπίσχετο,
χρυσοῦν τε θεῖσα στέφανον ἀμφὶ βοστρύχοις
λαμπρῷ κατόπτρῳ σχηματίζεται κόμην,
ἄψυχον εἰκὼ προσγελῶσα σώματος.
κἄπειτ' ἀναστᾶσ' ἐκ θρόνων διέρχεται
στέγας, ἁβρὸν βαίνουσα παλλεύκῳ ποδί,
δώροις ὑπερχαίρουσα, πολλὰ πολλάκις
τένοντ' ἐς ὀρθὸν ὄμμασι σκοπουμένη.
τοὐνθένδε μέντοι δεινὸν ἦν θέαμ' ἰδεῖν·
χροιὰν γὰρ ἀλλάξασα λεχρία πάλιν
χωρεῖ τρέμουσα κῶλα καὶ μόλις φθάνει
θρόνοισιν ἐμπεσοῦσα μὴ χαμαὶ πεσεῖν.
καί τις γεραιὰ προσπόλων δόξασά που
ἢ Πανὸς ὀργὰς ἤ τινος θεῶν μολεῖν
ἀνωλόλυξε, πρίν γ' ὁρᾷ διὰ στόμα
χωροῦντα λευκὸν ἀφρόν, ὀμμάτων τ' ἄπο
κόρας στρέφουσαν, αἷμά τ' οὐκ ἐνὸν χροΐ·
εἶτ' ἀντίμολπον ἧκεν ὀλολυγῆς μέγαν
κωκυτόν. εὐθὺς δ' ἡ μὲν εἰς πατρὸς δόμους
ὥρμησεν, ἡ δὲ πρὸς τὸν ἀρτίως πόσιν,
φράσουσα νύμφης συμφοράς· ἅπασα δὲ
στέγη πυκνοῖσιν ἐκτύπει δραμήμασιν.
ἡ δ' ἐξ ἀναύδου καὶ μύσαντος ὄμματος
δεινὸν στενάξασ' ἡ τάλαιν' ἠγείρετο·
διπλοῦν γὰρ αὐτῇ πῆμ' ἐπεστρατεύετο.
χρυσοῦς μὲν ἀμφὶ κρατὶ κείμενος πλόκος

θαυμαστὸν ἵει νᾶμα παμφάγου πυρός·
πέπλοι δὲ λεπτοί, σῶν τέκνων δωρήματα,
λευκὴν ἔδαπτον σάρκα τῆς δυσδαίμονος.
φεύγει δ' ἀνᾴξασ' ἐκ θρόνων πυρουμένη,
σείουσα χαίτην κρᾶτά τ' ἄλλοτ' ἄλλοσε,
ῥῖψαι θέλουσα στέφανον· ἀλλ' ἀραρότως
σύνδεσμα χρυσοῦν εἶχε, πῦρ δ', ἐπεὶ κόμην
ἔσειε μᾶλλον, δὶς τόσως ἐλάμπετο.
πίτνει δ' ἐς οὖδας συμφορᾷ νικωμένη,
πλὴν τῷ τεκόντι κάρτα δυσμαθὴς ἰδεῖν·
οὔτ' ὀμμάτων γὰρ δῆλος ἦν κατάστασις
οὔτ' εὐφυὲς πρόσωπον, αἷμα δ' ἐξ ἄκρου
ἔσταζε κρατὸς συμπεφυρμένον πυρί,
σάρκες δ' ἀπ' ὀστέων ὥστε πεύκινον δάκρυ
γναθμοῖς ἀδήλοις φαρμάκων ἀπέρρεον,
δεινὸν θέαμα· πᾶσι δ' ἦν φόβος θιγεῖν
νεκροῦ· τύχην γὰρ εἴχομεν διδάσκαλον.
πατὴρ δ' ὁ τλήμων συμφορᾶς ἀγνωσίᾳ
ἄφνω παρελθὼν δῶμα προσπίτνει νεκρῷ·
ᾤμωξε δ' εὐθύς, καὶ περιπτύξας δέμας
κυνεῖ προσαυδῶν τοιάδ'· 'ὦ δύστηνε παῖ,
τίς σ' ὧδ' ἀτίμως δαιμόνων ἀπώλεσε;
τίς τὸν γέροντα τύμβον ὀρφανὸν σέθεν
τίθησιν; οἴμοι, συνθάνοιμί σοι, τέκνον.'
ἐπεὶ δὲ θρήνων καὶ γόων ἐπαύσατο,
χρῄζων γεραιὸν ἐξαναστῆσαι δέμας
προσείχεθ' ὥστε κισσὸς ἔρνεσιν δάφνης
λεπτοῖσι πέπλοις, δεινὰ δ' ἦν παλαίσματα·
ὃ μὲν γὰρ ἤθελ' ἐξαναστῆσαι γόνυ,
ἣ δ' ἀντελάζυτ'· εἰ δὲ πρὸς βίαν ἄγοι,
σάρκας γεραιὰς ἐσπάρασσ' ἀπ' ὀστέων.

χρόνῳ δ' ἀπέστη καὶ μεθῆχ' ὁ δύσμορος
ψυχήν· κακοῦ γὰρ οὐκέτ' ἦν ὑπέρτερος.
κεῖνται δὲ νεκροὶ παῖς τε καὶ γέρων πατὴρ
πέλας, ποθεινὴ δακρύοισι συμφορά.
καί μοι τὸ μὲν σὸν ἐκποδὼν ἔστω λόγου·
γνώσει γὰρ αὐτὴ ζημίας ἀποστροφήν.
τὰ θνητὰ δ' οὐ νῦν πρῶτον ἡγοῦμαι σκιάν,
οὐδ' ἂν τρέσας εἴποιμι τοὺς σοφοὺς βροτῶν
δοκοῦντας εἶναι καὶ μεριμνητὰς λόγων
τούτους μεγίστην μωρίαν ὀφλισκάνειν·
θνητῶν γὰρ οὐδείς ἐστιν εὐδαίμων ἀνήρ·
ὄλβου δ' ἐπιρρυέντος εὐτυχέστερος
ἄλλου γένοιτ' ἂν ἄλλος, εὐδαίμων δ' ἂν οὔ.

X. Adrasti et Thesei colloquium.

(Euripidis Suppl. 163—262 ed. Nauck.)

Ἡ μὲν σκηνὴ ἐν Ἐλευσῖνι· ὁ δὲ χορὸς ἐξ Ἀργείων γυναικῶν, αἳ μητέρες ἦσαν τῶν ἐν Θήβαις πεπτωκότων ἀριστέων. τὸ δὲ δρᾶμα ἐγκώμιον Ἀθηνῶν (Hypothesis). Adrastus postquam oraculo quodam Apollinis inductus filias suas cum Polynice et Tydeo advenis iunxit (v. 48), invitis dis (v. 51), ut Polynicem in patriam reduceret, expeditionem suscepit, qua infeliciter gesta a Theseo, ut corpora mortuorum a Thebanis negata repetat, petit.

ΑΔΡΑΣΤΟΣ.

Ἀλλ' ὦ καθ' Ἑλλάδ' ἀλκιμώτατον κάρα,
ἄναξ Ἀθηνῶν, ἐν μὲν αἰσχύναις ἔχω
πίτνων πρὸς οὖδας γόνυ σὸν ἀμπίσχειν χερί,
πολιὸς ἀνὴρ τύραννος εὐδαίμων πάρος·
ὅμως δ' ἀνάγκη συμφοραῖς εἴκειν ἐμέ.
σῶσον νεκρούς μοι τἀμά τ' οἰκτείρας κακὰ
καὶ τῶν θανόντων τάσδε μητέρας τέκνων,
αἷς γῆρας ἥκει πολιὸν εἰς ἀπαιδίαν,
ἐλθεῖν δ' ἔτλησαν δεῦρο καὶ ξένον πόδα

θεῖναι, μόλις γεραιὰ κινοῦσαι μέλη,
πρεσβεύματ' οὐ Δήμητρος εἰς μυστήρια,
ἀλλ' ὡς νεκροὺς θάψωσιν, ἃς αὐτὰς ἐχρῆν
κείνων ταφείσας χερσὶν ὡραίων τυχεῖν.
τάχ' οὖν ἂν εἴποις· Πελοπίαν παρεὶς χθόνα
πῶς ταῖς 'Αθήναις τόνδε προστάσσεις πόνον;
ἐγὼ δίκαιός εἰμ' ἀφηγεῖσθαι τάδε.
Σπάρτη μὲν ὠμὴ καὶ πεποίκιλται τρόπους,
τὰ δ' ἄλλα μικρὰ κἀσθενῆ· πόλις δὲ σὴ
μόνη δύναιτ' ἂν τόνδ' ὑποστῆναι πόνον·
τά τ' οἰκτρὰ γὰρ δέδορκε καὶ νεανίαν
ἔχει σὲ ποιμέν' ἐσθλόν· οὗ χρείᾳ πόλεις
πολλαὶ διώλοντ' ἐνδεεῖς στρατηλάτου.

ΧΟΡΟΣ.

κἀγὼ τὸν αὐτὸν τῷδέ σοι λόγον λέγω,
Θησεῦ, δι' οἴκτου τὰς ἐμὰς λαβεῖν τύχας.

ΘΗΣΕΥΣ.

ἄλλοισι δὴ 'πόνησ' ἁμιλληθεὶς λόγῳ
τοιῷδ'. ἔλεξε γάρ τις ὡς τὰ χείρονα
πλείω βροτοῖσίν ἐστι τῶν ἀμεινόνων,
ἐγὼ δὲ τούτοις ἀντίαν γνώμην ἔχω·
αἰνῶ δ' ὃς ἡμῖν βίοτον ἐκ πεφυρμένου
καὶ θηριώδους θεῶν διεσταθμήσατο,
πρῶτον μὲν ἐνθεὶς σύνεσιν, εἶτα δ' ἄγγελον
γλῶσσαν λόγων δούς, ὡς γεγωνίσκειν ὄπα,
τροφήν τε καρποῦ τῇ τροφῇ τ' ἀπ' οὐρανοῦ
σταγόνας ὑδρηλάς, ὡς τά γ' ἐκ γαίας τρέφῃ
ἄρδῃ τε νηδύν· πρὸς δὲ τοῖσδε χείματος
προβλήματ' αἶθόν τ' ἐξαμύνασθαι θεοῦ,
πόντου τε ναυστολήμαθ', ὡς διαλλαγὰς
ἔχοιμεν ἀλλήλοισιν ὧν πένοιτο γῆ.

ἃ δ' ἔστ' ἄσημα κοὐ σαφῶς γιγνώσκομεν,
εἰς πῦρ βλέποντες καὶ κατὰ σπλάγχνων πτύχας
μάντεις προσημαίνουσιν οἰωνῶν τ' ἄπο.
ἆρ' οὐ τρυφῶμεν θεοῦ κατασκευὴν βίῳ
δόντος τοιαύτην, οἷσιν οὐκ ἀρκεῖ τάδε;
ἀλλ' ἡ φρόνησις τοῦ θεοῦ μεῖζον σθένειν
ζητεῖ, τὸ γαῦρον δ' ἐν φρεσὶν κεκτημένοι
δοκοῦμεν εἶναι δαιμόνων σοφώτεροι.
ἧς καὶ σὺ φαίνει δεκάδος οὐ σοφὸς γεγώς,
ὅστις κόρας μὲν θεσφάτοις Φοίβου ζυγεὶς
ξένοισιν ὧδ' ἔδωκας ὡς δόντων θεῶν·
εἰς δὲ στρατείαν πάντας Ἀργείους ἄγων,
μάντεων λεγόντων θέσφατ', εἶτ' ἀτιμάσας
βίᾳ παρελθὼν θεοὺς ἀπώλεσας πόλιν,
νέοις παραχθείς, οἵτινες τιμώμενοι
χαίρουσι πολέμους τ' αὐξάνουσ' ἄνευ δίκης,
φθείροντες ἀστούς, ὃ μὲν ὅπως στρατηλατῇ,
ὃ δ' ὡς ὑβρίζῃ δύναμιν εἰς χεῖρας λαβών,
ἄλλος δὲ κέρδους οὕνεκ', οὐκ ἀποσκοπῶν
τὸ πλῆθος εἴ τι βλάπτεται πάσχον τάδε.
τρεῖς γὰρ πολιτῶν μερίδες· οἳ μὲν ὄλβιοι
ἀνωφελεῖς τε πλειόνων τ' ἐρῶσ' ἀεί·
οἳ δ' οὐδὲν ὄντες καὶ σπανίζοντες βίου
εἰς τοὺς ἔχοντας κέντρ' ἀφιᾶσιν κακά,
γλώσσαις πονηρῶν προστατῶν φηλούμενοι·
τριῶν δὲ μοιρῶν ἡ 'ν μέσῳ σῴζει πόλεις,
κόσμον φυλάσσουσ' ὅντιν' ἂν τάξῃ πόλις.
κἄπειτ' ἐγώ σοι σύμμαχος γενήσομαι;
τί πρὸς πολίτας τοὺς ἐμοὺς λέγων καλόν;
χαίρων ἴθ'· εἰ δὲ μὴ βεβούλευσαι καλῶς
αὐτός, πιέζειν δεῖ τύχην, ἡμᾶς δ' ἐᾶν.

ΧΟ. *ἥμαρτεν· ἐν νέοισι δ' ἀνθρώπων τόδε*
ἔνεστι· συγγνώμην δὲ τῷδ' ἔχειν χρεών.
ΑΔ. *οὔτοι δικαστήν σ' εἱλόμην ἐμῶν κακῶν*
οὐδ' εἴ τι πράξας μὴ καλῶς εὑρίσκομαι,
τούτων κολαστὴν κἀπιτιμητήν, ἄναξ,
ἀλλ' ὡς ὀναίμην. εἰ δὲ μὴ βούλει τάδε,
στέργειν ἀνάγκη τοῖσι σοῖς· τί γὰρ πάθω;
ἀλλ', ὦ γεραιαί, στείχετε γλαυκὴν χλόην
αὐτοῦ λιποῦσαι φυλλάδος καταστεφῆ,
θεούς τε καὶ γῆν τήν τε πυρφόρον θεὰν
Δήμητρα θέμεναι μάρτυρ' ἡλίου τε φῶς,
ὡς οὐδὲν ἡμῖν ἤρκεσαν λιταὶ θεῶν.

XI. Fabula de simulacro Helenae.

(Prologus Euripidis Helen. 1—67 ed. Nauck., cf. Herod. II 115 sqq. et Stesichori fr. 32.)

ΕΛΕΝΗ.

Νείλου μὲν αἵδε καλλιπάρθενοι ῥοαί,
ὃς ἀντὶ δίας ψακάδος Αἰγύπτου πέδον
λευκῆς τακείσης χιόνος ὑγραίνει γύας.
Πρωτεὺς δ', ὅτ' ἔζη, τῆσδε γῆς τύραννος ἦν,
Φάρον μὲν οἰκῶν νῆσον, Αἰγύπτου δ' ἄναξ,
ὃς τῶν κατ' οἶδμα παρθένων μίαν γαμεῖ,
Ψαμάθην, ἐπειδὴ λέκτρ' ἀφῆκεν Αἰακοῦ.
τίκτει δὲ τέκνα δισσὰ τοῖσδε δώμασι,
Θεοκλύμενον ἄρσεν' εὐγενῆ τε παρθένον
Εἰδώ, τὸ μητρὸς ἀγλάισμ', ὅτ' ἦν βρέφος·
ἐπεὶ δ' ἐς ἥβην ἦλθεν ὡραίαν γάμων,
καλοῦσιν αὐτὴν Θεονόην· τὰ θεῖα γὰρ
τά τ' ὄντα καὶ μέλλοντα πάντ' ἠπίστατο,
προγόνου λαβοῦσα Νηρέως τιμὰς πάρα.
ἡμῖν δὲ γῆ μὲν πατρὶς οὐκ ἀνώνυμος

Σπάρτη, πατὴρ δὲ Τυνδάρεως· ἔστιν δὲ δὴ
λόγος τις ὡς Ζεὺς μητέρ' ἔπτατ' εἰς ἐμὴν
Λήδαν κύκνου μορφώματ' ὄρνιθος λαβών,
ὃς δόλιον εὐνὴν ἐξέπραξ' ὑπ' ἀετοῦ
δίωγμα φεύγων, εἰ σαφὴς οὗτος λόγος.
Ἑλένη δ' ἐκλήθην· ἃ δὲ πεπόνθαμεν κακὰ
λέγοιμ' ἄν. ἦλθον τρεῖς θεαὶ κάλλους πέρι
Ἰδαῖον εἰς κευθμῶν' Ἀλέξανδρον πάρα,
Ἥρα Κύπρις τε Διογενής τε παρθένος,
μορφῆς θέλουσαι διαπεράνασθαι κρίσιν.
τοὐμὸν δὲ κάλλος, εἰ καλὸν τὸ δυστυχές,
Κύπρις προτείνασ' ὡς Ἀλέξανδρος γαμεῖ,
νικᾷ· λιπὼν δὲ βούσταθμ' Ἰδαῖος Πάρις
Σπάρτην ἀφίκεθ' ὡς ἐμὸν σχήσων λέχος.
Ἥρα δὲ μεμφθεῖσ' οὕνεκ' οὐ νικᾷ θεάς,
ἐξηνέμωσε τἄμ' Ἀλεξάνδρῳ λέχη,
δίδωσι δ' οὐκ ἔμ', ἀλλ' ὁμοιώσασ' ἐμοὶ
εἴδωλον ἔμπνουν οὐρανοῦ ξυνθεῖσ' ἄπο
Πριάμου τυράννῳ παιδί· καὶ δοκεῖ μ' ἔχειν,
κενὴν δόκησιν, οὐκ ἔχων. τὰ δ' αὖ Διὸς
βουλεύματ' ἄλλα τοῖσδε συμβαίνει κακοῖς·
πόλεμον γὰρ εἰσήνεγκεν Ἑλλήνων χθονὶ
καὶ Φρυξὶ δυστήνοισιν, ὡς ὄχλου βροτῶν
πλήθους τε κουφίσειε μητέρα χθόνα
γνωτόν τε θείη τὸν κράτιστον Ἑλλάδος.
Φρυγῶν δ' ἐς ἀλκὴν προὐτέθην, ἐγὼ μὲν οὔ,
τὸ δ' ὄνομα τοὐμόν, ἆθλον Ἕλλησιν δορός.
λαβὼν δέ μ' Ἑρμῆς ἐν πτυχαῖσιν αἰθέρος
νεφέλῃ καλύψας (οὐ γάρ ἠμέλησέ μου
Ζεύς) τόνδ' ἐς οἶκον Πρωτέως ἱδρύσατο,
πάντων προκρίνας σωφρονέστατον βροτῶν,

ἀκέραιον ὡς σώσειε Μενέλεῳ λέχος.
κἀγὼ μὲν ἐνθάδ᾽ εἴμ᾽, ὁ δ᾽ ἄθλιος πόσις
στράτευμ᾽ ἀθροίσας τὰς ἐμὰς ἀναρπαγὰς
θηρᾷ πορευθεὶς Ἰλίου πυργώματα.
ψυχαὶ δὲ πολλαὶ δι᾽ ἔμ᾽ ἐπὶ Σκαμανδρίοις
ῥοαῖσιν ἔθανον· ἡ δὲ πάντα τλᾶσ᾽ ἐγὼ
κατάρατός εἰμι καὶ δοκῶ προδοῦσ᾽ ἐμὸν
πόσιν συνάψαι πόλεμον Ἕλλησιν μέγαν.
τί δῆτ᾽ ἔτι ζῶ; θεοῦ τόδ᾽ εἰσήκουσ᾽ ἔπος
Ἑρμοῦ, τὸ κλεινόν μ᾽ ἔτι κατοικήσειν πέδον
Σπάρτης σὺν ἀνδρί, γνόντι μ᾽ ὡς ἐς Ἴλιον
οὐκ ἦλθον, ἵνα μὴ λέκτρ᾽ ὑποστρώσω τινί.
ἕως μὲν οὖν φῶς ἡλίου τόδ᾽ ἔβλεπε
Πρωτεύς, ἄσυλος ἦ γάμων· ἐπεὶ δὲ γῆς
σκότῳ κέκρυπται, παῖς ὁ τοῦ τεθνηκότος
θηρᾷ γαμεῖν με. τὸν πάλαι δ᾽ ἐμὸν πόσιν
τιμῶσα Πρωτέως μνῆμα προσπίτνω τόδε
ἱκέτις, ἵν᾽ ἀνδρὶ τἀμὰ διασώσῃ λέχη,
ὡς, εἰ καθ᾽ Ἑλλάδ᾽ ὄνομα δυσκλεὲς φέρω,
μή μοι τὸ σῶμά γ᾽ ἐνθάδ᾽ αἰσχύνην ὄφλῃ.

XII. Iphigenia ab Agamemnone vitam precatur.

(Euripidis Iphig. Aulid. 1211—1275 ed. Nauck. cf. fasc. III p. 47.)

Res Aulide ante Dianae aram agitur; adest mater et Orestes filiolus.

ΙΦΙΓΕΝΕΙΑ.

Εἰ μὲν τὸν Ὀρφέως εἶχον, ὦ πάτερ, λόγον,
πείθειν ἐπᾴδουσ᾽ ὥσθ᾽ ὁμαρτεῖν μοι πέτρας
κηλεῖν τε τοῖς λόγοισιν οὓς ἐβουλόμην,
ἐνταῦθ᾽ ἂν ἦλθον. νῦν δὲ τἀπ᾽ ἐμοῦ σοφά,
δάκρυα παρέξω· ταῦτα γὰρ δυναίμεθ᾽ ἄν.
ἱκετηρίαν δὲ γόνασιν ἐξάπτω σέθεν

τὸ σῶμα τοὐμόν, ὅπερ ἔτικτεν ἥδε σοι,
μή μ' ἀπολέσῃς ἄωρον· ἡδὺ γὰρ τὸ φῶς
λεύσσειν· τὰ δ' ὑπὸ γῆς μή μ' ἰδεῖν ἀναγκάσῃς.
πρώτη σ' ἐκάλεσα πατέρα καὶ σὺ παῖδ' ἐμέ·
πρώτη δὲ γόνασι σοῖσι σῶμα δοῦσ' ἐμὸν
φίλας χάριτας ἔδωκα κἀντεδεξάμην.
λόγος δ' ὁ μὲν σὸς ἦν ὅδ'· 'ἆρά σ', ὦ τέκνον,
εὐδαίμον' ἀνδρὸς ἐν δόμοισιν ὄψομαι,
ζῶσάν τε καὶ θάλλουσαν ἀξίως ἐμοῦ;'
οὑμὸς δ' ὅδ' ἦν αὖ περὶ σὸν ἐξαρτωμένης
γένειον, οὗ νῦν ἀντιλάζυμαι χερί·
'τί δ' ἆρ' ἐγὼ σέ, πρέσβυν ἆρ' εἰσδέξομαι
ἐμῶν φίλαισιν ὑποδοχαῖς δόμων, πάτερ,
πόνων τιθηνῶν ἀποδιδοῦσά σοι χάριν;'
τούτων ἐγὼ μὲν τῶν λόγων μνήμην ἔχω,
σὺ δ' ἐπιλέλησαι, καί μ' ἀποκτεῖναι θέλεις.
μὴ πρός σε Πέλοπος καὶ πρὸς Ἀτρέως πατρὸς
καὶ τῆσδε μητρός, ἣ πρὶν ὠδίνουσ' ἐμὲ
νῦν δευτέραν ὠδῖνα τήνδε λαμβάνει.
τί μοι μέτεστι τῶν Ἀλεξάνδρου γάμων
Ἑλένης τε; πόθεν ἦλθ' ἐπ' ὀλέθρῳ τὠμῷ, πάτερ;
βλέψον πρὸς ἡμᾶς, ὄμμα δὸς φίλημά τε,
ἵν' ἀλλὰ τοῦτο κατθανοῦσ' ἔχω σέθεν
μνημεῖον, εἰ μὴ τοῖς ἐμοῖς πείθει λόγοις.
ἀδελφέ, μικρὸς μὲν σύ γ' ἐπίκουρος φίλοις,
ὅμως δὲ συνδάκρυσον, ἱκέτευσον πατρὸς
τὴν σὴν ἀδελφὴν μὴ θανεῖν· αἴσθημά τοι
κἀν νηπίοις γε τῶν κακῶν ἐγγίγνεται.
ἰδοὺ σιωπῶν λίσσεταί σ' ὅδ', ὦ πάτερ.
ἀλλ' αἴδεσαί με καὶ κατοίκτειρον βίον.
ναί, πρὸς γενείου σ' ἀντόμεσθα δύο φίλω,

ὃ μὲν νεοσσός ὢν ἔθ', ἣ δ' ηὐξημένη.
ἑνὶ συντεμοῦσα πάντα νικήσω λόγῳ·
τὸ φῶς τόδ' ἀνθρώποισιν ἥδιστον βλέπειν,
τὰ νέρθε δ' οὐδέν· μαίνεται δ' ὃς εὔχεται
θανεῖν. κακῶς ζῆν κρεῖσσον ἢ καλῶς θανεῖν.

ΧΟΡΟΣ.

ὦ τλῆμον Ἑλένη, διὰ σὲ καὶ τοὺς σοὺς γάμους
ἀγὼν Ἀτρείδαις καὶ τέκνοις ἥκει μέγας.

ΑΓΑΜΕΜΝΩΝ.

ἐγὼ τά τ' οἰκτρὰ συνετός εἰμι καὶ τὰ μή,
φιλῶ τ' ἐμαυτοῦ τέκνα· μαινοίμην γὰρ ἄν.
δεινῶς δ' ἔχει μοι ταῦτα τολμῆσαι, γύναι,
δεινῶς δὲ καὶ μή· τί ποτε γὰρ πρᾶξαί με δεῖ;
ὁρᾶθ' ὅσον στράτευμα ναύφρακτον τόδε,
χαλκέων θ' ὅπλων ἄνακτες Ἑλλήνων ὅσοι,
οἷς νόστος οὐκ ἔστ' Ἰλίου πύργους ἔπι
οὐδ' ἔστι Τροίας ἐξελεῖν κλεινὸν βάθρον,
εἰ μή σε θύσω, μάντις ὡς Κάλχας λέγει.
μέμηνε δ' ἀφροδίτη τις Ἑλλήνων στρατῷ
πλεῖν ὡς τάχιστα βαρβάρων ἐπὶ χθόνα
παῦσαί τε λέκτρων ἁρπαγὰς Ἑλληνικῶν,
οἳ τὰς ἐν Ἄργει παρθένους κτενοῦσί μου
ὑμᾶς τε κἀμέ, θέσφατ' εἰ λύσω θεᾶς.
οὐ Μενέλεώς με καταδεδούλωται, τέκνον,
οὐδ' ἐπὶ τὸ κείνου βουλόμενον ἐλήλυθα,
ἀλλ' Ἑλλὰς ἧτει, κἂν θέλω κἂν μὴ θέλω,
θῦσαί σε· ταύτης δ' ἥσσονες καθέσταμεν.
ἐλευθέραν γὰρ δεῖ νιν ὅσον ἐν σοί, τέκνον,
κἀμοὶ γενέσθαι, μηδὲ βαρβάρων ὕπο
Ἕλληνας ὄντας λέκτρα συλᾶσθαι βίᾳ.

XIII. Dioscuri post Clytemestram trucidatam deorum ex machina munere functi quid faciendum sit Orestem docent.

(Euripidis Electra 1238—1291 ed. Nauck. cf. fasc. I p. 50.)

(v. 42 sq. Helenae simulacrum Troiam raptam, ipsam Aegyptum avectam esse Euripides finxerat, cf. p. 37 sqq. v. 48 significatur Electra specie a matre Aegisthoque agricolae Argivo nupta.)

ΔΙΟΣΚΟΥΡΟΙ.

Ἀγαμέμνονος παῖ, κλῦθι· δίπτυχοι δέ σε
μητρὸς καλοῦμεν σύγγονοι Διόσκοροι,
Κάστωρ κασίγνητός τε Πολυδεύκης ὅδε.
δεινὸν δὲ ναὸς ἀρτίως πόντου σάλον
παύσαντ' ἀφίγμεθ' Ἄργος, ὡς ἐσείδομεν
σφαγὰς ἀδελφῆς τῆσδε, μητέρος δὲ σῆς.
δίκαια μὲν νῦν ἥδ' ἔχει· σὺ δ' οὐχὶ δρᾷς,
Φοῖβός τε, Φοῖβος — ἀλλ' ἄναξ γάρ ἐστ' ἐμός,
σιγῶ· σοφὸς δ' ὢν οὐκ ἔχρησέ σοι σοφά.
αἰνεῖν δ' ἀνάγκη ταῦτα· τἀντεῦθεν δὲ χρὴ
πράσσειν ἃ μοῖρα Ζεύς τ' ἔκρανε σοῦ πέρι.
Πυλάδῃ μὲν Ἠλέκτραν δὸς ἄλοχον εἰς δόμους,
σὺ δ' Ἄργος ἔκλιπ'· οὐ γὰρ ἔστι σοι πόλιν
τήνδ' ἐμβατεύειν, μητέρα κτείναντι σήν.
δειναὶ δὲ Κῆρές σ' αἱ κυνώπιδες θεαὶ
τροχηλατήσουσ' ἐμμανῆ πλανώμενον.
ἐλθὼν δ' Ἀθήνας Παλλάδος σεμνὸν βρέτας
πρόσπτυξον· εἵρξει γάρ νιν ἐπτοημένας
δεινοῖς δράκουσιν ὥστε μὴ ψαύειν σέθεν,
γοργῶφ' ὑπερτείνουσά σου κάρᾳ κύκλον.
ἔστιν δ' Ἄρεώς τις ὄχθος, οὗ πρῶτον θεοὶ
ἕζοντ' ἐπὶ ψήφοισιν αἵματος πέρι,
Ἁλιρρόθιον ὅτ' ἔκταν' ὠμόφρων Ἄρης,
πόντου κρέοντος παῖδ', ἵν' εὐσεβεστάτη

ψῆφος βεβαία τ' ἐστὶν ἐκ τούτου βροτοῖς.
ἐνταῦθα καὶ σὲ δεῖ δραμεῖν φόνου πέρι.
ἴσαι δέ σ' ἐκσώσουσι μὴ θανεῖν δίκῃ
ψῆφοι τεθεῖσαι· Λοξίας γὰρ αἰτίαν
εἰς αὑτὸν οἴσει, μητέρος χρήσας φόνον.
καὶ τοῖσι λοιποῖς ὅδε νόμος τεθήσεται,
νικᾶν ἴσαις ψήφοισι τὸν φεύγοντ' ἀεί.
δειναὶ μὲν οὖν θεαὶ τῷδ' ἄχει πεπληγμέναι
πάγον πάρ' αὐτὸν χάσμα δύσονται χθονός,
σεμνὸν βροτοῖσιν εὐσεβὲς μυστήριον·
σὲ δ' Ἀρκάδων χρὴ πόλιν ἐπ' Ἀλφειοῦ ῥοαῖς
οἰκεῖν Λυκαίου πλησίον σηκώματος·
ἐπώνυμος δὲ σοῦ πόλις κεκλήσεται.
σοὶ μὲν τάδ' εἶπον· τόνδε δ' Αἰγίσθου νέκυν
Ἄργους πολῖται γῆς καλύψουσιν τάφῳ.
μητέρα δὲ τὴν σὴν ἄρτι Ναυπλίαν παρὼν
Μενέλαος, ἐξ οὗ Τρωικὴν εἷλε χθόνα,
Ἑλένη τε θάψει· Πρωτέως γὰρ ἐκ δόμων
ἥκει λιποῦσ' Αἴγυπτον οὐδ' ἦλθεν Φρύγας.
Ζεὺς δ', ὡς ἔρις γένοιτο καὶ φόνος βροτῶν,
εἴδωλον Ἑλένης ἐξέπεμψ' εἰς Ἴλιον.
Πυλάδης μὲν οὖν κόρην τε καὶ δάμαρτ' ἔχων
Ἀχαιίδος γῆς οἴκαδ' εἰσπορευέτω
καὶ τὸν λόγῳ σὸν πενθερὸν κομιζέτω
Φωκέων ἐς αἶαν καὶ δότω πλούτου βάρος·
σὺ δ' Ἰσθμίας γῆς αὐχέν' ἐμβαίνων ποδὶ
χώρει πρὸς οἶκον Κεκροπίας εὐδαίμονα.
πεπρωμένην γὰρ μοῖραν ἐκπλήσας φόνου
εὐδαιμονήσεις τῶνδ' ἀπαλλαχθεὶς πόνων.

XIV. Polyphemus ab Ulixe oculo privatur.

(Euripidis Cyclop. 630—709 ed. Nauck. cf. fasc. I p. 50.)

Hac extrema parte fabulae satyricae Ulixes cum choro satyrorum, quos Polyphemus captos habebat, in diversas partes diviso colloquitur; hi tamen periculum veriti rem ad socios Ulixi deferunt (*ἐν τῷ Καρὶ κινδυνεύουσιν*).

ΟΔΥΣΣΕΥΣ.

Ἄγε νυν ὅπως ἅψεσθε τοῦ δαλοῦ χεροῖν
ἔσω μολόντες· διάπυρος δ' ἐστὶν καλῶς.

ΧΟΡΟΣ.

οὐκοῦν σὺ τάξεις, οὕστινας πρώτους χρεὼν
καυτὸν μοχλὸν λαβόντας ἐκκάειν τὸ φῶς
Κύκλωπος, ὡς ἂν τῆς τύχης κοινώμεθα;

ΗΜΙΧΟΡΙΟΝ.

ἡμεῖς μέν ἐσμεν μακρότερον πρὸ τῶν θυρῶν
ἑστῶτες ὠθεῖν ἐς τὸν ὀφθαλμὸν τὸ πῦρ.
ΗΜ. *ἡμεῖς δὲ χωλοί γ' ἀρτίως γεγενήμεθα.*
ΗΜ. *ταὐτὸν πεπόνθατ' ἆρ' ἐμοί· τοὺς γὰρ πόδας*
ἑστῶτες ἐσπάσθημεν οὐκ οἶδ' ἐξ ὅτου.
ΟΔ. *ἑστῶτες ἐσπάσθητε;* ΗΜ. *καὶ τά γ' ὄμματα*
μέστ' ἐστὶν ἡμῶν κόνεος ἢ τέφρας ποθέν.
ΟΔ. *ἄνδρες πονηροὶ κοὐδὲν οἵδε σύμμαχοι.*
ΧΟ. *ὁτιὴ τὸ νῶτον τὴν ῥάχιν τ' οἰκτείρομεν*
καὶ τοὺς ὀδόντας ἐκβαλεῖν οὐ βούλομαι
τυπτόμενος, αὕτη γίγνεται πονηρία;
ἀλλ' οἶδ' ἐπῳδὴν Ὀρφέως ἀγαθὴν πάνυ,
ὡς αὐτόματον τὸν δαλὸν εἰς τὸ κρανίον
στείχονθ' ὑφάπτειν τὸν μονῶπα παῖδα γῆς.
ΟΔ. *πάλαι μὲν ἤδη σ' ὄντα τοιοῦτον φύσει,*
νῦν δ' οἶδ' ἄμεινον. τοῖσι δ' οἰκείοις φίλοις
χρῆσθαί μ' ἀνάγκη. χειρὶ δ' εἰ μηδὲν σθένεις,
ἀλλ' οὖν ἐπεγκέλευέ γ', ὡς εὐψυχίαν

φίλων κελευσμοῖς τοῖσι σοῖς κτησώμεθα.
ΧΟ. δράσω τάδ'. ἐν τῷ Καρὶ κινδυνεύσομεν.
κελευσμάτων δ' ἕκατι τυφέσθω Κύκλωψ.
ἰὼ ἰώ,
γενναιόταθ' ὠθεῖτε, σπεύδετε.
ἐκκαίετε τὴν ὀφρὺν
θηρὸς τοῦ ξενοδαίτα.
τύφετ' ὦ, καίετ' ὦ
τὸν Αἴτνας μηλονόμον.
τόρνευ', ἕλκε, μή σ' ἐξ ὀδύνης συθεὶς
δράσῃ τι μάταιον.

ΚΥΚΛΩΨ.

ὤμοι, κατηνθρακώμεθ' ὀφθαλμοῦ σέλας.
ΧΟ. καλός γ' ὁ παιάν· μέλπε μοι τόνδ' αὖ, Κύκλωψ.
ΚΥ. ὤμοι μάλ', ὡς ὑβρίσμεθ', ὡς ὀλώλαμεν.
ἀλλ' οὔτι μὴ φύγητε τῆσδ' ἔξω πέτρας
χαίροντες, ἔνδον ὄντες· ἐν πύλαισι γὰρ
σταθεὶς φάραγγος ταῖσδ' ἐναρμόσω χέρας.
ΧΟ. τί χρῆμ' ἀυτεῖς, ὦ Κύκλωψ; ΚΥ. ἀπωλόμην.
ΧΟ. αἰσχρός γε φαίνει. ΚΥ. κἀπὶ τοῖσδέ γ' ἄθλιος.
ΧΟ. μεθύων κατέπεσες εἰς μέσους τοὺς ἄνθρακας;
ΚΥ. Οὖτίς μ' ἀπώλεσ'. ΧΟ. οὐκ ἄρ' οὐδείς σ' ἠδίκει.
ΚΥ. Οὖτίς μ' ἐτύφλου βλέφαρον. ΧΟ. οὐκ ἄρ' εἶ τυφλός.
ΚΥ. σκώπτεις· ὁ δ' Οὖτις ποῦ 'στιν;
ΧΟ. οὐδαμοῦ, Κύκλωψ.
ΚΥ. ὁ ξένος, ἵν' ὀρθῶς ἐκμάθῃς, μ' ἀπώλεσεν,
ὁ μιαρός, ὅς με δοὺς τὸ πῶμα κατέκλυσε.
ΧΟ. δεινὸς γὰρ οἶνος καὶ παλαίεσθαι βαρύς.
ΚΥ. πρὸς θεῶν, πεφεύγασ' ἢ μένουσ' εἴσω δόμων;
ΧΟ. οὗτοι σιωπῇ τὴν πέτραν ἐπήλυγα
λαβόντες ἑστήκασι. ΚΥ. ποτέρας τῆς χερός;

ΧΟ. ἐν δεξιᾷ σου. ΚΥ. ποῦ; ΧΟ. πρὸς αὐτῇ τῇ πέτρᾳ.
ἔχεις; ΚΥ. κακόν γε πρὸς κακῷ· τὸ κρανίον
παίσας κατέαγα. ΧΟ. καί σε διαφεύγουσί γε.
ΚΥ. οὐ τῇδ' ἐπείγειν εἶπας; ΧΟ. οὔ· ταύτῃ λέγω.
ΚΥ. πῇ γάρ; ΧΟ. περιάγου, κεῖσε πρὸς τἀριστερά.
ΚΥ. οἴμοι γελῶμαι· κερτομεῖτέ μ' ἐν κακοῖς.
ΧΟ. ἀλλ' οὐκέτ', ἀλλὰ πρόσθεν οὗτός ἐστί σου.
ΚΥ. ὦ παγκάκιστε, ποῦ ποτ' εἶ; ΟΔ. τηλοῦ σέθεν
φυλακαῖσι φρουρῶ σῶμ' Ὀδυσσέως τόδε.
ΚΥ. πῶς εἶπας; ὄνομα μεταβαλὼν καινὸν λέγεις;
ΟΔ. ὥσπερ γ' ὁ φύσας ὠνόμαζ' Ὀδυσσέα.
δώσειν δ' ἔμελλες ἀνοσίου δαιτὸς δίκας·
κακῶς γὰρ ἂν Τροίαν γε διεπυρώσαμεν,
εἰ μή σ' ἑταίρων φόνον ἐτιμωρησάμην.
ΚΥ. αἰαῖ· παλαιὸς χρησμὸς ἐκπεραίνεται.
τυφλὴν γὰρ ὄψιν ἐκ σέθεν σχήσειν μ' ἔφη
Τροίας ἀφορμηθέντος. ἀλλὰ καὶ σέ τοι
δίκας ὑφέξειν ἀντὶ τῶνδ' ἐθέσπισε,
πολὺν θαλάσσῃ χρόνον ἐναιωρούμενον.
ΟΔ. κλαίειν σ' ἄνωγα· καὶ δέδραχ' ὅπερ λέγω.
ἐγὼ δ' ἐπ' ἀκτὰς εἶμι καὶ νεὼς σκάφος
ἥσω 'πὶ πόντον Σικελὸν ἔς τ' ἐμὴν πάτραν.
ΚΥ. οὐ δῆτ', ἐπεί σε τήνδ' ἀπορρήξας πέτραν
αὐτοῖσι συνναύταισι συντρίψω βαλών.
ἄνω δ' ἐπ' ὄχθον εἶμι, καίπερ ὢν τυφλός,
δι' ἀμφιτρῆτος τῆσδε προσβαίνων πέτρας.
ΧΟ. ἡμεῖς δὲ συνναῦταί γε τοῦδ' Ὀδυσσέως
ὄντες τὸ λοιπὸν Βακχίῳ δουλεύσομεν.

XV. Pro patria etiam carissimos affectus devovendos esse.

(Euripidis Erechthei fragm. 362 ed. Nauck.)

Cum Eumolpus Thracum rex in fines Atticae invasurus esset,

Apollo Delphicus Erechtheo vaticinatus est Athenas servari non posse, nisi filiam immolari pateretur. Praxithea Erechthei uxor filiam sacrificari iubet (cf. Lycurgi Leocr. § 98—100).

Τὰς χάριτας ὅστις εὐγενῶς χαρίζεται,
ἥδιον ἐν βροτοῖσιν· οἳ δὲ δρῶσι μέν,
χρόνῳ δὲ δρῶσι, δυσγενέστερον λέγω.
ἐγὼ δὲ δώσω παῖδα τὴν ἐμὴν κτανεῖν.
λογίζομαι δὲ πολλά· πρῶτα μὲν πόλιν
οὐκ ἄν τιν' ἄλλην τῆσδε βελτίω λαβεῖν·
ᾗ πρῶτα μὲν λεὼς οὐκ ἐπακτὸς ἄλλοθεν,
αὐτόχθονες δ' ἔφυμεν· αἱ δ' ἄλλαι πόλεις
πεσσῶν ὁμοίως διαφοραῖς ἐκτισμέναι
ἄλλαι παρ' ἄλλων εἰσὶν εἰσαγώγιμοι.
ὅστις δ' ἀπ' ἄλλης πόλεος οἰκήσῃ πόλιν,
ἁρμὸς πονηρὸς ὥσπερ ἐν ξύλῳ παγείς,
λόγῳ πολίτης ἐστί, τοῖς δ' ἔργοισιν οὔ.
ἔπειτα τέκνα τοῦδ' ἕκατι τίκτομεν,
ὡς θεῶν τε βωμοὺς πατρίδα τε ῥυώμεθα.
πόλεως δ' ἁπάσης τοὔνομ' ἕν, πολλοὶ δέ νιν
ναίουσι· τούτους πῶς διαφθεῖραί με χρή,
ἐξὸν προπάντων μίαν ὑπερδοῦναι θανεῖν;
εἴπερ γὰρ ἀριθμὸν οἶδα καὶ τοὐλάσσονος
τὸ μεῖζον, οὑνὸς οἶκος οὐ πλέον σθένει
πταίσας ἁπάσης πόλεος οὐδ' ἴσον φέρει.
εἰ δ' ἦν ἐν οἴκοις ἀντὶ θηλειῶν στάχυς
ἄρσην, πόλιν δὲ πολεμία κατεῖχε φλόξ,
οὐκ ἄν νιν ἐξέπεμπον εἰς μάχην δορός,
θάνατον προταρβοῦσ'; ἀλλ' ἔμοιγ' ἔστω τέκνα,
ἃ καὶ μάχοιτο καὶ μετ' ἀνδράσιν πρέποι,
μὴ σχήματ' ἄλλως ἐν πόλει πεφυκότα.
τὰ μητέρων δὲ δάκρυ' ὅταν πέμπῃ τέκνα,
πολλοὺς ἐθήλυν' εἰς μάχην ὁρμωμένους.

μισῶ γυναῖκας, αἵτινες πρὸ τοῦ καλοῦ
εἵλοντο παῖδας καὶ παρῄνεσαν κακά.
καὶ μὴν θανόντες γ' ἐν μάχῃ πολλῶν μέτα
τύμβον τε κοινὸν ἔλαχον εὔκλειάν τ' ἴσην·
τἠμῇ δὲ παιδὶ στέφανος εἷς μιᾷ μόνῃ
πόλεως θανούσῃ τῆσδ' ὑπερδοθήσεται.
καὶ τὴν τεκοῦσαν καὶ σὲ δύο θ' ὁμοσπόρω
σώσει· τί τούτων οὐχὶ δέξασθαι καλόν;
τὴν οὐκ ἐμὴν πλὴν ἢ φύσει δώσω κόρην
θῦσαι πρὸ γαίας. εἰ γὰρ αἱρεθήσεται
πόλις, τί παίδων τῶν ἐμῶν μέτεστί μοι;
οὐκ οὖν ἅπαντα τοὖν γ' ἐμοὶ σωθήσεται;
ἄρξουσιν ἄλλοι, τήνδ' ἐγὼ σώσω πόλιν.
ἐκεῖνο δ', οὗ τὸ πλεῖστον ἐν κοινῷ μέρος,
οὐκ ἔσθ' ἑκούσης τῆς ἐμῆς ψυχῆς ἀνὴρ
προγόνων παλαιὰ θέσμι' ὅστις ἐκβαλεῖ·
οὐδ' ἀντ' ἐλάας χρυσέας τε Γοργόνος
τρίαιναν ὀρθὴν στᾶσαν ἐν πόλεως βάθροις
Εὔμολπος οὐδὲ Θρᾷξ ἀναστέψει λεὼς
στεφάνοισι, Παλλὰς δ' οὐδαμοῦ τιμήσεται.
χρῆσθ', ὦ πολῖται, τοῖς ἐμοῖς λοχεύμασιν,
σῴζεσθε, νικᾶτ'· ἀντὶ γὰρ ψυχῆς μιᾶς
οὐκ ἔσθ' ὅπως ὑμῖν ἐγὼ οὐ σώσω πόλιν.
ὦ πατρίς, εἴθε πάντες, οἳ ναίουσί σε,
οὕτω φιλοῖεν ὡς ἐγώ· καὶ ῥᾳδίως
οἰκοῖμεν ἄν σε, κοὐδὲν ἂν πάσχοις κακόν.

XVI. Quae potissimum vitae ratio sequenda sit.

(Euripidis Erechthei fragm. 364 ed. Nauck.)

Ὀρθῶς μ' ἐπήρου. βούλομαι δέ σοι, τέκνον, —
φρονεῖς γὰρ ἤδη κἀποσώσαι' ἂν πατρός
γνώμας φράσαντος, ἣν θάνω — παραινέσαι

κειμήλι' ἐσθλὰ καὶ νέοισι χρήσιμα.
βραχεῖ δὲ μύθῳ πολλὰ συλλαβὼν ἐρῶ.
πρῶτον φρένας μὲν ἠπίους ἔχειν χρεών·
τῷ πλουσίῳ τε τῷ τε μὴ διδοὺς μέρος
ἴσον σεαυτὸν εὐσεβῆ πᾶσιν δίδου.
δυοῖν παρόντοιν πραγμάτοιν πρὸς θάτερον
γνώμην προσάπτων τὴν ἐναντίαν μέθες.
ἀδίκως δὲ μὴ κτῶ χρήματ', ἢν βούλῃ πολὺν
χρόνον μελάθροις ἐμμένειν· τὰ γὰρ κακῶς
οἴκους ἐσελθόντ' οὐκ ἔχει σωτηρίαν.
ἔχειν δὲ πειρῶ· τοῦτο γὰρ τό τ' εὐγενὲς
καὶ τοὺς γάμους δίδωσι τοὺς πρώτους ἔχειν.
ἐν τῷ πένεσθαι δ' ἐστὶν ἥ τ' ἀδοξία,
κἂν ᾖ σοφός τις, ἥ τ' ἀτιμία βίου.
φίλους δὲ τοὺς μὲν μὴ χαλῶντας ἐν λόγοις
κέκτησο· τοὺς δὲ πρὸς χάριν σὺν ἡδονῇ
τῇ σῇ πονηροὺς κλῆθρον εἰργέτω στέγης.
ὁμιλίας τε τὰς γεραιτέρας φίλει,
ἀκόλαστα δ' ἤθη λαμπρὰ συγγελᾶν μόνον
μίσει· βραχεῖα τέρψις ἡδονῆς κακῆς.
ἐξουσίᾳ δὲ μήποτ' ἐντυχών, τέκνον,
αἰσχροὺς ἔρωτας δημοτῶν διωκαθεῖν.
ὃ καὶ σίδηρον ἀγχόνας τ' ἐφέλκεται,
χρηστῶν πενήτων ἤν τις αἰσχύνῃ τέκνα.
καὶ τοὺς πονηροὺς μήποτ' αὔξαν' ἐν πόλει·
κακοὶ γὰρ ἐμπλησθέντες ἢ νομίσματος
ἢ πόλεος ἐμπεσόντες εἰς ἀρχήν τινα
σκιρτῶσιν, ἀδόκητ' εὐτυχησάντων δόμων.
ἀλλ' ὦ τέκνον μοι δὸς χέρ', ὡς θίγῃ πατήρ,
καὶ χαῖρ'· ὑπ' αἰδοῦς δ' οὐ λίαν ἀσπάζομαι·
γυναικόφρων γὰρ θυμὸς ἀνδρὸς οὐ σοφοῦ.

XVII. Ne athletarum merita pluris aestimentur, quam aequum videatur.

(Euripidis Autolyci fragm. 284 ed. Nauck.)

Κακῶν γὰρ ὄντων μυρίων καθ' Ἑλλάδα
οὐδὲν κάκιόν ἐστιν ἀθλητῶν γένους.
οἳ πρῶτα μὲν ζῆν οὔτε μανθάνουσιν εὖ
οὔτ' ἂν δύναιντο· πῶς γὰρ ὅστις ἔστ' ἀνὴρ
γνάθου τε δοῦλος νηδύος θ' ἡσσημένος
κτήσαιτ' ἂν ὄλβον εἰς ὑπερβολὴν πατρός;
οὐδ' αὖ πένεσθαι κἀξυπηρετεῖν τύχαις
οἷοί τ'· ἔθη γὰρ οὐκ ἐθισθέντες καλὰ
σκληρῶς μεταλλάσσουσιν εἰς τἀμήχανα.
λαμπροὶ δ' ἐν ἥβῃ καὶ πόλεως ἀγάλματα
φοιτῶσ'· ὅταν δὲ προσπέσῃ γῆρας πικρόν,
τρίβωνες ἐκβαλόντες οἴχονται κρόκας.
ἐμεμψάμην δὲ καὶ τὸν Ἑλλήνων νόμον,
οἳ τῶνδ' ἕκατι σύλλογον ποιούμενοι
τιμῶσ' ἀχρείους ἡδονὰς δαιτὸς χάριν.
τίς γὰρ παλαίσας εὖ, τίς ὠκύπους ἀνὴρ
ἢ δίσκον ἄρας ἢ γνάθον παίσας καλῶς
πόλει πατρῴᾳ στέφανον ἤρκεσεν λαβών;
πότερα μαχοῦνται πολεμίοισιν ἐν χεροῖν
δίσκους ἔχοντες ἢ δι' ἀσπίδων ποσὶ
θείνοντες ἐκβαλοῦσι πολεμίους πάτρας;
οὐδεὶς σιδήρου ταῦτα μωραίνει πέλας
στάς. ἄνδρας οὖν χρῆν τοὺς σοφούς τε κἀγαθοὺς
φύλλοις στέφεσθαι, χὤστις ἡγεῖται πόλει
κάλλιστα σώφρων καὶ δίκαιος ὢν ἀνήρ,
ὅστις τε μύθοις ἔργ' ἀπαλλάσσει κακὰ
μάχας τ' ἀφαιρῶν καὶ στάσεις· τοιαῦτα γὰρ
πόλει τε ταύτῃ πᾶσί θ' Ἕλλησιν καλά.

XVIII. CLEANTHIS HYMNUS IN IOVEM

(stoici, qui audivit Zenonem successitque ei in ludo mortuo.)

Κύδιστ' ἀθανάτων, πολυώνυμε, παγκρατὲς αἰεί,
Ζεῦ, φύσεως ἀρχηγέ, νόμου μέτα πάντα κυβερνῶν,
χαῖρε· σὲ γὰρ πάντεσσι θέμις θνητοῖσι προσαυδᾶν.
ἐκ σοῦ γὰρ γενόμεσθα, λόγου μίμημα λαχόντες
μοῦνοι, ὅσα ζώει τε καὶ ἕρπει θνήτ' ἐπὶ γαῖαν·
τῷ σε καθυμνήσω καὶ σὸν κράτος αἰὲν ἀείδω.
σοὶ δὴ πᾶς ὅδε κόσμος, ἑλισσόμενος περὶ γαῖαν,
πείθεται, ᾗ κεν ἄγῃς, καὶ ἑκὼν ὑπὸ σεῖο κρατεῖται·
τοῖον ἔχεις ὑποεργὸν ἀνικήτοις ἐνὶ χερσίν,
ἀμφήκη, πυρόεντ', ἀειζώοντα κεραυνόν·
τοῦ γὰρ ὑπὸ πληγῆς φύσεως πάντ' ἐρρίγασιν.
οὐδέ τι γίγνεται ἔργον ἐπὶ χθονὶ σοῦ δίχα, δαῖμον,
οὔτε κατ' αἰθέριον θεῖον πόλον οὔτ' ἐνὶ πόντῳ,
πλὴν ὁπόσα ῥέζουσι κακοὶ σφετέρῃσιν ἀνοίαις·
ἀλλὰ σὺ καὶ τὰ περισσά τ' ἐπίστασαι ἄρτια θεῖναι
καὶ κοσμεῖν τἄκοσμα, καὶ οὐ φίλα σοι φίλα ἐστίν.
ὧδε γὰρ εἰς ἓν πάντα συνήρμοκας ἐσθλὰ κακοῖσιν,
ὥσθ' ἕνα γίγνεσθαι πάντων λόγον αἰὲν ἐόντα,
ὃν φεύγοντες ἐῶσιν ὅσοι θνητῶν κακοί εἰσι,
δύσμοροι, οἵ τ' ἀγαθῶν μὲν ἀεὶ κτῆσιν ποθέοντες
οὔτ' ἐσορῶσι θεοῦ κοινὸν νόμον οὔτε κλύουσιν,
ᾧ κεν πειθόμενοι σὺν νῷ βίον ἐσθλὸν ἔχοιεν.
αὐτοὶ δ' αὖθ' ὁρμῶσιν ἄνοι κακὸν ἄλλος ἐπ' ἄλλο,
οἳ μὲν ὑπὲρ δόξης σπουδὴν δυσέριστον ἔχοντες,
οἳ δ' ἐπὶ κερδοσύνας τετραμμένοι οὐδενὶ κόσμῳ,
ἄλλοι δ' εἰς ἄνεσιν καὶ σώματος ἡδέα ἔργα
σπεύδοντες μάλα πάμπαν ἐναντία τῶνδε γενέσθαι.
Ἀλλὰ Ζεῦ πάνδωρε, κελαινεφές, ἀργικέραυνε,
ἀνθρώπους μὲν ῥύου ἀπειροσύνης ἀπὸ λυγρῆς,

ἣν σύ, πατήρ, σκέδασον ψυχῆς ἄπο, δὸς δὲ κυρῆσαι
γνώμης, ᾗ πίσυνος σὺ δίκης μέτα πάντα κυβερνᾷς,
ὄφρ' ἂν τιμηθέντες ἀμειβώμεσθα σε τιμῇ,
ὑμνοῦντες τὰ σὰ ἔργα διηνεκές, ὡς ἐπέοικε
θνητὸν ἐόντ', ἐπεὶ οὔτε βροτοῖς γέρας ἄλλο τι μεῖζον
οὔτε θεοῖς, ἢ κοινὸν ἀεὶ νόμον ἐν δίκῃ ὑμνεῖν.

XIX. Carmen bucolicum de morte Daphnidis.

(Theocriti idyll. I; cf. fasc. V p. 66.)

Daphnis, omnium in Sicilia pastorum formosissimus, primus bucolicos cantus movisse fertur. — v. 140 *Κισσαίθα* nomen caprae.

ΘΥΡΣΙΣ.

Ἁδύ τι τὸ ψιθύρισμα καὶ ἁ πίτυς, αἰπόλε, τήνα
ἁ ποτὶ ταῖς παγαῖσι μελίσδεται, ἁδὺ δὲ καὶ τύ
συρίσδες· μετὰ Πᾶνα τὸ δεύτερον ἆθλον ἀποισῇ.
αἴκα τῆνος ἕλῃ κεραὸν τράγον, αἶγα τὺ λαψῇ·
αἴκα δ' αἶγα λάβῃ τῆνος γέρας, εἰς τὲ καταρρεῖ
ἁ χίμαρος· χιμάρῳ δὲ καλὸν κρέας, ἔστε κ' ἀμέλξῃς.

ΑΙΠΟΛΟΣ.

Ἅδιον, ὦ ποιμήν, τὸ τεὸν μέλος ἢ τὸ καταχές
τῆν' ἀπὸ τᾶς πέτρας καταλείβεται ὑψόθεν ὕδωρ.
αἴκα ταὶ Μοῖσαι τὰν οἰίδα δῶρον ἄγωνται,
ἄρνα τὺ σακίταν λαψῇ γέρας· αἰ δέ κ' ἀρέσκῃ
τήνας ἄρνα λαβεῖν, τὺ δὲ τὰν ὄϊν ὕστερον ἀξῇ.

ΘΥΡΣΙΣ.

Λῇς ποτὶ τᾶν Νυμφᾶν, λῇς, αἰπόλε, τεῖδε καθίξας,
ὡς τὸ κάταντες τοῦτο γεώλοφον αἵ τε μυρῖκαι,
συρίσδεν; τὰς δ' αἶγας ἐγὼν ἐν τῷδε νομευσῶ.

ΑΙΠΟΛΟΣ.

Οὐ θέμις, ὦ ποιμήν, τὸ μεσαμβρινόν, οὐ θέμις ἄμιν
συρίσδεν· τὸν Πᾶνα δεδοίκαμες· ἦ γὰρ ἀπ' ἄγρας
τανίκα κεκμακὼς ἀμπαύεται· ἔστι δὲ πικρός,

καί οἱ ἀεὶ δριμεῖα χολὰ ποτὶ ῥινὶ κάθηται.
ἀλλὰ τὺ γὰρ δή, Θύρσι, τὰ Δάφνιδος ἄλγε' ἀείδες
καὶ τᾶς βουκολικᾶς ἐπὶ τὸ πλέον ἵκεο Μοίσας·
δεῦρ' ὑπὸ τὰν πτελέαν ἑσδώμεθα, τῶ τε Πριήπω
καὶ τᾶν Κρανιάδων κατεναντίον, ᾇπερ ὁ θῶκος
τῆνος ὁ ποιμενικὸς καὶ ταὶ δρύες. αἰ δέ κ' ἀείσῃς,
ὡς ὄκα τὸν Λιβύαθε ποτὶ Χρόμιν ᾆσας ἐρίσδων,
αἶγα δέ τοι δωσῶ διδυματόκον ἐς τρὶς ἀμέλξαι,
ἃ δύ' ἔχοισ' ἐρίφως ποταμέλγεται ἐς δύο πέλλας,
καὶ βαθὺ κισσύβιον κεκλυσμένον ἀδέϊ κηρῷ,
ἀμφῶες, νεοτευχές, ἔτι γλυφάνοιο ποτόσδον.
τῶ περὶ μὲν χείλη μαρύεται ὑψόθε κισσός,
κισσὸς ἑλιχρύσῳ κεχροϊσμένος· ἁ δὲ κατ' αὐτῶν
καρπῷ ἕλιξ εἱλεῖται ἀγαλλομένα κροκόεντι.
ἔντοσθεν δὲ γυνά, τὶ θεῶν δαίδαλμα, τέτυκται,
ἀσκητὰ πέπλῳ τε καὶ ἄμπυκι. πὰρ δέ οἱ ἄνδρες
καλὸν ἐθειράζοντες ἀμοιβαδὶς ἄλλοθεν ἄλλος
νεικείουσ' ἐπέεσσι. τὰ δ' οὐ φρενὸς ἅπτεται αὐτᾶς·
ἀλλ' ὄκα μὲν τῆνον ποτιδέρκεται ἄνδρα γελᾶσα,
ἄλλοκα δ' αὖ ποτὶ τὸν ῥιπτεῖ νόον. οἱ δ' ὑπ' ἔρωτος
δηθὰ κυλοιδιόωντες ἐτώσια μοχθίζοντι.
τοῖς δὲ μετὰ γριπεύς τε γέρων πέτρα τε τέτυκται
λεπράς, ἐφ' ᾇ σπεύδων μέγα δίκτυον ἐς βόλον ἕλκει
ὁ πρέσβυς, κάμνοντι τὸ καρτερὸν ἀνδρὶ ἐοικώς.
φαίης κεν γυίων νιν ὅσον σθένος ἐλλοπιεύειν·
ὧδέ οἱ ᾠδήκαντι κατ' αὐχένα πάντοθεν ἶνες
καὶ πολιῷ περ ἐόντι· τὸ δὲ σθένος ἄξιον ἥβας.
τυτθὸν δ' ὅσσον ἄπωθεν ἁλιτρύτοιο γέροντος
πυρραίαις σταφυλαῖσι καλὸν βέβριθεν ἀλωά,
τὰν ὀλίγος τις κῶρος ἐφ' αἱμασιαῖσι φυλάσσει
ἥμενος· ἀμφὶ δέ νιν δύ' ἀλώπεκες, ἁ μὲν ἀν' ὄρχως

φοιτῇ σινομένα τὰν τρώξιμον, ἁ δ᾽ ἐπὶ πήρᾳ
πάντα δόλον κεύθοισα τὸ παιδίον οὐ πρὶν ἀνησεῖν
φατὶ πρὶν ἢ ἀκράτιστον ἐπὶ ξηροῖσι καθίξῃ.
αὐτὰρ ὅγ᾽ ἀνθερίκοισι καλὰν πλέκει ἀκριδοθήραν
σχοίνῳ ἐφαρμόσδων· μέλεται δέ οἱ οὔτε τι πήρας
οὔτε φυτῶν τοσσῆνον, ὅσον περὶ πλέγματι γαθεῖ.
παντᾷ δ᾽ ἀμφὶ δέπας περιπέπταται ὑγρὸς ἄκανθος,
αἰολικόν τι θέαμα· τέρας κέ τι θυμὸν ἀτύξαι.
τῶ μὲν ἐγὼ πορθμεῖ Καλυδωνίῳ αἶγά τ᾽ ἔδωκα
ὦνον καὶ τυρῶντα μέγαν λευκοῖο γάλακτος·
οὐδέ τί πω ποτὶ χεῖλος ἐμὸν θίγεν, ἀλλ᾽ ἔτι κεῖται
ἄχραντον. τῷ κέν τυ μάλα πρόφρων ἀρεσαίμαν,
αἴκά μοι τύ, φίλος, τὸν ἐφίμερον ὕμνον ἀείσῃς.
κοὔτί τυ κερτομέω. πόταγ᾽ ὠγαθέ· τὰν γὰρ ἀοιδὰν
οὔ τί πᾳ εἰς Ἀΐδαν γε τὸν ἐκλελάθοντα φυλαξεῖς.

ΘΥΡΣΙΣ.

(Ὠιδή.)

Ἄρχετε βουκολικᾶς, Μοῖσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.
Θύρσις ὅδ᾽ ὡξ Αἴτνας, καὶ Θύρσιος ἁδ᾽ ἁ φωνά.
πᾷ ποκ᾽ ἄρ᾽ ἦσθ᾽, ὅκα Δάφνις ἐτάκετο, πᾷ ποκα Νύμφαι;
ἢ κατὰ Πηνειῶ καλὰ τέμπεα, ἢ κατὰ Πίνδω;
οὐ γὰρ δὴ ποταμοῖο μέγαν ῥόον εἴχετ᾽ Ἀνάπω,
οὐδ᾽ Αἴτνας σκοπιάν, οὐδ᾽ Ἄκιδος ἱερὸν ὕδωρ.
ἄρχετε βουκολικᾶς, Μοῖσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.
τῆνον μὰν θῶες, τῆνον λύκοι ὠρύσαντο,
τῆνον χὡκ δρυμοῖο λέων ἔκλαυσε θανόντα.
πολλαί οἱ πὰρ ποσσὶ βόες, πολλοὶ δέ τε ταῦροι,
πολλαὶ δ᾽ αὖ δαμάλαι καὶ πόρτιες ὠδύραντο.
ἄρχετε βουκολικᾶς, Μοῖσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.
ἦνθ᾽ Ἑρμᾶς πράτιστος ἀπ᾽ ὤρεος, εἶπε δέ· ‘Δάφνι,
τίς τυ κατατρύχει; τίνος, ὠγαθέ, τόσσον ἐρᾶσαι;’

ἄρχετε βουκολικᾶς, Μοῖσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
ἦνθον τοὶ βοῦται, τοὶ ποιμένες, αἰπόλοι ἦνθον·
πάντες ἀνηρώτων, τί πάθοι κακόν. ἦνθ' ὁ Πρίηπος —
ἄρχετε βουκολικᾶς, Μοῖσαι φίλαι, ἄρχετ' ἀοιδᾶς —
κἦφα· 'Δάφνι τάλαν, τί νυ τάκεαι; ἁ δέ τυ κώρα
πάσας ἀνὰ κράνας, πάντ' ἄλσεα ποσσὶ φορεῖται
ζατοῖσ'· ἆ δύσερώς τις ἄγαν καὶ ἀμήχανος ἐσσί.
βούτας μὰν ἐλέγευ, νῦν δ' αἰπόλῳ ἀνδρὶ ἔοικας.'
ἄρχετε βουκολικᾶς, Μοῖσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
'ᾡπόλος ὅκκ' ἐσορῇ τὰς μηκάδας οἷα βατεῦνται,
τάκεται ὀφθαλμώς, ὅτι οὐ τράγος αὐτὸς ἔγεντο.
καὶ τὺ δ' ἐπεί κ' ἐσορῇς τὰς παρθένος οἷα γελᾶντι,
τάκεαι ὀφθαλμώς, ὅτι οὐ μετὰ τῇσι χορεύεις.'
ἄρχετε βουκολικᾶς, Μοῖσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
τὼς δ' οὐδὲν ποτελέξαθ' ὁ βουκόλος, ἀλλὰ τὸν αὑτῶ
ἄνυε πικρὸν ἔρωτα καὶ ἐς τέλος ἄνυε μοίρας.
ἄρχετε βουκολικᾶς, Μοῖσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
ἦνθέ γε μὰν ἀδεῖα καὶ ἁ Κύπρις γελάοισα,
λαίθρα μὲν γελάοισα, βαρὺν δ' ἐνὶ θυμὸν ἔχοισα,
κεἶπε· 'τύ θην τὸν Ἔρωτα κατ' εὔχεο, Δάφνι, λυγιξεῖν·
ἦ ῥ' οὐκ αὐτὸς Ἔρωτος ὑπ' ἀργαλέω ἐλυγίχθης;'
ἄρχετε βουκολικᾶς, Μοῖσαι, πάλιν ἄρχετ' ἀοιδᾶς.
τὰν δ' ἄρα χὠ Δάφνις ποταμείβετο· 'Κύπρι βαρεῖα,
Κύπρι νεμεσσατά, Κύπρι θνατοῖσιν ἀπεχθής·
ἤδη γὰρ φράσδῃ πάνθ' ἅλιον ἄμμι δεδυκεῖν;
Δάφνις κἠν Ἀΐδα κακὸν ἔσσεται ἄλγος Ἔρωτι.
ἄρχετε βουκολικᾶς, Μοῖσαι, πάλιν ἄρχετ' ἀοιδᾶς.
ὦ λύκοι, ὦ θῶες, ὦ ἀν' ὤρεα φωλάδες ἄρκτοι,
χαίρεθ'· ὁ βουκόλος ὔμιν ἐγὼ Δάφνις οὐκέτ' ἀν' ὕλαν,
οὐκέτ' ἀνὰ δρυμώς, οὐκ ἄλσεα. χαῖρ', Ἀρέθοισα
καὶ ποταμοί, τοὶ χεῖτε καλὸν κατὰ Θυμβρίδος ὕδωρ.

ἄρχετε βουκολικᾶς, Μοῖσαι, πάλιν ἄρχετ' ἀοιδᾶς.
ὦ Πὰν Πάν, εἴτ' ἐσσὶ κατ' ὤρεα μακρὰ Λυκαίω,
εἴτε τύγ' ἀμφιπολεῖς μέγα Μαίναλον, ἔνθ' ἐπὶ νᾶσον
τὰν Σικελάν, Ἑλίκας δὲ λίπ' ἠρίον αἰπύ τε σᾶμα
τῆνο Λυκαονίδαο, τὸ καὶ μακάρεσσιν ἀγατόν.
λήγετε βουκολικᾶς, Μοῖσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
ἔνθ', ὦναξ, καὶ τάνδε φέρευ πακτοῖο μελίπνουν
ἐκ κηρῶ σύριγγα καλάν, περὶ χεῖλος ἑλικτάν·
ἦ γὰρ ἐγὼν ὑπ' ἔρωτος ἐς Ἄϊδος ἕλκομαι ἤδη,
Δάφνις ἐγὼν ὅδε τῆνος ὁ τὰς βόας ὧδε νομεύων,
Δάφνις ὁ τὼς ταύρως καὶ πόρτιας ὧδε ποτίσδων.
λήγετε βουκολικᾶς, Μοῖσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
νῦν δ' ἴα μὲν φορέοιτε βάτοι, φορέοιτε δ' ἄκανθαι,
ἁ δὲ καλὰ νάρκισσος ἐπ' ἀρκεύθοισι κομάσαι·
πάντα δ' ἔναλλα γένοιντο, καὶ ἁ πίτυς ὄχνας ἐνείκαι,
Δάφνις ἐπεὶ θνάσκει, καὶ τὼς κύνας ὥλαφος ἕλκοι,
κἠξ ὀρέων τοὶ σκῶπες ἀηδόσι δηρίσαιντο.'
λήγετε βουκολικᾶς, Μοῖσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
χὢ μὲν τόσσ' εἰπὼν ἀνεπαύσατο· τὸν δ' Ἀφροδίτα
ἤθελ' ἀνορθῶσαι· τά γε μὰν λίνα πάντα λελοίπη
ἐκ Μοιρᾶν, χὢ Δάφνις ἔβα ῥόον. ἔκλυσε δίνα
τὸν Μοίσαις φίλον ἄνδρα, τὸν οὐ Νύμφαισιν ἀπεχθῆ.
λήγετε βουκολικᾶς, Μοῖσαι, ἴτε, λήγετ' ἀοιδᾶς.

Καὶ τὺ δίδου τὰν αἶγα τό τε σκύφος, ὥς κεν ἀμέλξας
σπείσω ταῖς Μοίσαις. ὦ χαίρετε πολλάκι, Μοῖσαι,
χαίρετ', ἐγὼ δ' ὔμμιν καὶ ἐς ὕστερον ἅδιον ᾀσῶ.

ΑΙΠΟΛΟΣ.

Πλῆρές τοι μέλιτος τὸ καλὸν στόμα, Θύρσι, γένοιτο,
πλῆρές τοι σχαδόνων, καὶ ἀπ' Αἰγίλω ἰσχάδα τρώγοις
ἀδεῖαν, τέττιγος ἐπεὶ τύγα φέρτερον ᾄδεις.

ἠνίδε τοι τὸ δέπας· θᾶσαι φίλος, ὡς καλὸν ὄσδει·
Ὡρᾶν πεπλύσθαι νιν ἐπὶ κράναισι δοκησεῖς.
ὧδ' ἴθι, Κισσαίθα· τὺ δ' ἄμελγέ νιν. αἱ δὲ χίμαιραι,
οὐ μὴ σκιρτασεῖτε, μὴ ὁ τράγος ὔμιν ἀναστῇ.

HERONDAS

vel Herodas, Cous, aequalis Theocriti, floruit aetate Ptolomaei Philadelphi (a. Chr. n. 285—246). scripsit mimiambos (◡ – ◡ – ◡ – ◡ – ◡ – – ⏓), quibus vita cotidiana moresque populi bene adumbrantur. has fabellas ex papyro Aegyptia primus edidit F. G. Kenyon a. 1891.

XX. Διδάσκαλος (III).

Cottalus, nequissimus puer, Metrotima matre orante atque instante a Lamprisco ludi magistro vapulat. Res agitur in conclavi imagine Musarum ornato (v. 1, 55, 66, 77, 90). Colloquuntur Metrotima, Lampriscus, Cottalus. v. 10 *Νάννακος ἐγένετο Φρυγῶν βασιλεύς, ὃς προειδὼς τὸν μέλλοντα κατακλυσμὸν μετὰ δακρύων ἱκέτευεν.* v. 25 *Σίμων*: ita iactus quidam talorum (*τῶν δορκάδων, δορκαλίδων*) vocatur. v. 53 *ὀτῆμος* = *ὁπηνίκα.* v. 61 *ἄστραβδα* assidue. v. 79 *ὁ μῦς* (a verbo *μύω*) claustra oris.

ΜΗΤΡΟΤΙΜΗ.

Οὕτω τί σοι δοίησαν αἱ φίλαι Μοῦσαι,
Λαμπρίσκε, τερπνὸν τῆς ζοῆς τ' ἐπαυρέσθαι —
τοῦτον κατ' ὤμου δεῖρον, ἄχρις ἡ ψυχὴ
αὐτοῦ ἐπὶ χειλέων μοῦνον ἡ κακὴ λειφθῇ.
ἔκ μευ ταλαίνης τὴν στέγην πεπόρθηκεν
χαλκίνδα παίζων· καὶ γὰρ οὐδ' ἀπαρκεῦσιν
αἱ δορκάδες, Λαμπρίσκε, συμφορῆς δ' ἤδη
ὁρμᾷ ἐπὶ μέζον. κοῦ μὲν ἡ θύρη κεῖται
τοῦ γραμματιστέω καὶ τριηκὰς ἡ πικρὴ
τὸν μισθὸν αἰτεῖ, κἢν τὰ Ναννάκου κλαύσω,
οὐκ ἂν ταχέως λέξειε· τήν γε μὴν παίστρην,
ὅκουπερ οἰκίζουσιν οἵ τε προὔνικοι
κοἱ δρηπέται, σάφ' οἶδε κἠτέρῳ δεῖξαι.
κἡ μὲν τάλαινα δέλτος, ἣν ἐγὼ κάμνω

κηροῦσ' ἑκάστου μηνός, ὀρφανὴ κεῖται,
ἢν μήκοτ' αὐτὴν οἷον Ἀίδην βλέψας
γράψῃ μὲν οὐδὲν καλόν, ἐκ δ' ὅλην ξύσῃ.
αἱ δορκαλῖδες δὲ λιπαρώτεραι πολλὸν
τῆς ληκύθου ἡμέων, τῇ ἐπὶ παντὶ χρώμεσθα,
ἐν τῇσι φύσῃς τοῖς τε δικτύοις κεῖνται.
ἐπίσταται δ' οὐδ' ἄλφα συλλαβὴν γνῶναι,
ἢν μή τις αὐτῷ ταὐτὰ πεντάκις βώσῃ.
τριθημέρῃ 'Μάρωνα' γραμματίζοντος
τοῦ πατρὸς αὐτῷ τὸν 'Μάρωνα' ἐποίησεν
οὗτος 'Σίμωνα' ὁ χρηστός· ὥστ' ἔγωγ' εἶπα
ἄνουν ἐμαυτήν, ἥτις οὐκ ὄνους βόσκειν
αὐτὸν διδάσκω, γραμμάτων δὲ παιδείην,
δοκεῦσ' ἀρωγὸν τῆς ἀωρίης ἕξειν.
ἐπεὰν δὲ δὴ καὶ ῥῆσιν, οἷα παιδίσκον,
ἢ 'γώ μιν εἰπεῖν ἢ ὁ πατὴρ ἀνώγωμεν,
γέρων ἀνὴρ ὠσίν τε κὤμμασιν κάμνων,
ἐνταῦθ' ὅκως μιν ἐκ τετρημένης ἠθεῖ·
"Ἄ—πολ—λον ἀγ—ρεῦ' (τοῦτο, φημί, χὴ μάμμη
καλῶς ἐρεῖ σοι, κἤστὶ γραμμάτων χήρη,
κὠ προστυχὼν Φρύξ). ἢν δὲ δή τι καὶ μέζον
γρύξαι θέλωμεν, ἢ τριταῖος οὐκ οἶδεν
τῆς οἰκίης τὸν οὐδόν, ἀλλὰ τὴν μάμμην,
γρηῦν γυναῖκα κὠρφανὴν βίου, κείρει,
ἢ τοῦ τέγευς ὕπερθε τὰ σκέλεα τείνας
κάθηθ' ὅκως τις καλλίης κάτω κύπτων.
τί μευ δοκεῖς τὰ σπλάγχνα τῆς κάκης πάσχειν,
ἐπεὰν ἴδωμι; κοὐ τόσος λόγος τοῦδε·
ἀλλ' ὁ κέραμος πᾶς ὥσπερ ἴτρια θλῆται,
κἤπὴν ὁ χειμὼν ἐγγὺς ᾖ, τρί' ἡμαιθα
κλαίουσ' ἑκάστου τοῦ πλατύσματος τίνω·

ἓν γὰρ στόμ' ἐστὶ τῆς συνοικίης πάσης·
'τοῦ Μητροτίμης ἔργα Κοττάλου ταῦτα.'
ὅρη δέ, κοίως τὴν ῥάκιν λελέπρηκε
πᾶσαν, καθ' ὕλην, οἷα Δήλιος κυρτεὺς
ἐν τῇ θαλάσσῃ, τὠμβλὺ τῆς ζοῆς τρίβων.
τὰς ἑβδόμας τ' ἄμεινον εἰκάδας τ' οἶδε
τῶν ἀστροδιφέων, κοὐδ' ὕπνος μιν αἱρεῖται
νοεῦνθ', ὀτῆμος παιγνίην ἀγινῆτε.
ἀλλ' εἴ τί σοι, Λαμπρίσκε, καὶ βίου πρῆξιν
ἐσθλὴν τελοῖεν αἵδε κἀγαθῶν κύρσαις,
μῆλασσον αὐτῷ —

ΛΑΜΠΡΙΣΚΟΣ.

Μητροτίμη, μὴ ἐπεύχεο,
ἕξει γὰρ οὐδὲν μεῖον. Εὐθίης κοῦ μοι,
κοῦ Κόκκαλος, κοῦ Φίλλος; οὐ ταχέως τοῦτον
ἀρεῖτ' ἐπ' ὤμου; — καλά, Κότταλ', ἃ πρήσσεις.
οὔ σοι ἔτ' ἀπαρκεῖ τῇσι δορκάσιν παίζειν
ἄστραβδ', ὅκωσπερ οἶδε, πρὸς δὲ τὴν παίστρην
ἐν τοῖσι προυνίκοισι χαλκίζεις φοιτέων;
ἐγώ σε θήσω κοσμιώτερον κούρης.
κοῦ μοι τὸ δριμὺ σκῦλος, ἡ βοὸς κέρκος;
δότω τις εἰς τὴν χεῖρα, πρὶν χολὴν βῆξαι.

ΚΟΤΤΑΛΟΣ.

μὴ μὴ ἱκετέω, Λαμπρίσκε, πρός σε τῶν Μουσέων,
μὴ τῷ με δριμεῖ, τῷ 'τέρῳ δὲ λώβησαι.
ΛΑ. *ἀλλ' εἷς πονηρός, Κότταλε, ὥστε καὶ περνὰς*
οὐδείς σ' ἐπαινέσειεν, οὐδ' ὅκου χώρης
οἱ μῦς ὁμοίως τὸν σίδηρον τρώγουσιν.
ΚΟ. *κόσας, κόσας, Λαμπρίσκε, λίσσομαι, μέλλεις*
ἔς μ' ἐνφορῆσαι; ΛΑ. *μὴ 'μέ, τήνδε δ' εἰρώτα.*
ΚΟ. *τατᾶ, κόσας μοι δώσετ';* ΜΗ. *εἴ τί σοι ζῴην,*

φέρειν ὅσας ἂν ἡ κακὴ σθένῃ βύρσα.
ΚΟ. *παῦσαι, ἱκαναί, Λαμπρίσκε.* ΛΑ. *καὶ σὺ δὴ παῦσαι*
κάκ' ἔργα πρήσσων. ΚΟ. *οὐκέτ', οὐχί τι πρήξω,*
ὄμνυμί σοι, Λαμπρίσκε, τὰς φίλας Μούσας.
ΛΑ. *ὅσσην δὲ καὶ τὴν γλάσσαν οὗτος ἔσχηκας·*
πρός σοι βαλέω τὸν μῦν τάχ', ἢν πλέω γρύξῃς.
ΚΟ. *ἰδού, σιωπῶ· μή με, λίσσομαι, κτείνῃς.*
ΛΑ. *μέθεσθε, Κόκκαλ', αὐτόν.* ΜΗ. *οὔ σε δεῖ λῆξαι,*
Λαμπρίσκε· δεῖρον δ', ἄχρις ἥλιος δὺς ᾖ.
ΛΑ. *ἀλλ' ἔστιν ὕδρης ποικιλώτερος πολλῷ.*
ΜΗ. *καὶ δεῖ λαβεῖν μιν κἀπὶ βυβλίῳ δήκου,*
τὸ μηδέν, ἄλλας. ΛΑ. *εἴκοσίν γε, καὶ ἢν μέλλῃ*
αὐτῆς ἄμεινον τῆς Κλεοῦς ἀναγνῶναι.
ΜΗ. *ἐρέω ἐπιμηθέως τῷ γέροντι, Λαμπρίσκε,*
ἐλθοῦσ' ἐς οἶκον ταῦτα, καὶ πέδας ἥξω
φέρουσ', ὅκως μιν σύμποδ' ὧδε πηδεῦντα
αἱ πότνιαι βλέπωσιν, ἃς ἐμίσησεν.

BABRIVS

incertum qua aetate (fortasse altero p. Chr. n. saeculo) fabulas Aesopeas sermone pedestri antea traditas metro choliambico dulcissime instruxit.

XXI. Λέων νοσήσας.

Λέων νοσήσας ἐν φάραγγι πετραίῃ
ἔκειτο νωθρὰ γυῖα γῆς ἐφαπλώσας,
φίλην δ' ἀλώπεκ' εἶχεν, ᾗ προσωμίλει.
ταύτῃ ποτ' εἶπεν· 'εἰ θέλεις με σὺ ζῴειν —
πεινῶ γὰρ ἐλάφου τῆς ὑπ' ἀγρίαις πεύκαις
κεῖνον τὸν ὑλήεντα δρυμὸν οἰκούσης,
καὶ νῦν διώκειν ἔλαφον οὐκέτ' ἰσχύω —
σὺ δ' ἢν θελήσῃς, χεῖρας εἰς ἐμὰς ἥξει
λόγοισι θηρευθεῖσα σοῖς μελιγλώσσοις.'

ἀπῆλθε κερδώ, τὴν δ᾽ ὑπ᾽ ἀγρίαις ὕλαις
σκιρτῶσαν εὗρε μαλθακῆς ὑπὲρ ποίης.
προσέκυσε δ᾽ αὐτὴν πρῶτον, εἶτα καὶ χαίρειν
προσεῖπε, χρηστῶν τ᾽ ἄγγελος λόγων ἥκειν.
'ὁ λέων', ἔφασκεν, 'οἶσθας, ἔστι μοι γείτων,
ἔχει δὲ φαύλως, κἀγγύς ἐστι τοῦ θνήσκειν.
τίς οὖν μετ᾽ αὐτὸν θηρίων τυραννήσει,
διεσκοπεῖτο· "σῦς μέν ἐστιν ἀγνώμων,
ἄρκτος δὲ νωθής, πάρδαλις δὲ θυμώδης,
τίγρις δ᾽ ἀλαζὼν καὶ τὸ πᾶν ἐρημαίη.
ἔλαφον τυραννεῖν ἀξιωτάτην κρίνω·
γαύρη μὲν εἶδος, πολλὰ δ᾽ εἰς ἔτη ζώει,
κέρας δὲ φοβερὸν πᾶσιν ἑρπετοῖς φύει,
δένδροις ὅμοιον, κοὐχ ὁποῖα τῶν ταύρων."
τί σοι λέγω τὰ πολλά; πλὴν ἐκυρώθη,
μέλλεις τ᾽ ἀνάσσειν θηρίων ὀρειφοίτων.
τότ᾽ ἂν γένοιτο τῆς ἀλώπεκος μνήμη,
δέσποινα, τῆς σοι τοῦτο πρῶτον εἰπούσης.
ταῦτ᾽ ἦλθον. ἀλλὰ χαῖρε, φιλτάτη. σπεύδω
πρὸς τὸν λέοντα, μὴ πάλιν με ζητήσῃ
(χρῆται γὰρ ἡμῖν εἰς ἅπαντα συμβούλοις),
δοκῶ δὲ καὶ σέ, τέκνον, εἴ τι τῆς γραίης
κεφαλῆς ἀκούεις. ἔπρεπέ σοι παρεδρεύειν
ἐλθοῦσαν αὐτῷ καὶ πονοῦντα θαρσύνειν.
τὰ μικρὰ πείθει τοὺς ἐν ἐσχάταις ὥραις·
ψυχαὶ δ᾽ ἐν ὀφθαλμοῖσι τῶν τελευτώντων.'
ὣς εἶπε κερδώ. τῆς δ᾽ ὁ νοῦς ἐχαυνώθη
λόγοισι ποιητοῖσιν, ἦλθε δ᾽ εἰς κοίλην
σπήλυγγα θηρός, καὶ τὸ μέλλον οὐκ ᾔδει.
λέων δ᾽ ἀπ᾽ εὐνῆς ἀσκόπως ἐφορμήσας
ὄνυξιν οὔατ᾽ ἐσπάραξεν ἀκραίοις,

σπουδῇ διωχθείς· τὴν δὲ φύξα δειλαίην
θύρης κατιθὺς ἦγεν εἰς μέσας ὕλας.
κερδὼ δὲ χεῖρας ἐπεκρότησεν ἀλλήλαις,
ἐπεὶ πόνος μάταιος ἐξανηλώθη.
κἀκεῖνος ἐστέναξε τὸ στόμα βρύχων
(ὁμοῦ γὰρ αὐτὸν λιμὸς εἶχε καὶ λύπη),
πάλιν δὲ κερδὼ καθικέτευε φωνήσας
ἄλλον τιν' εὑρεῖν δεύτερον δόλον θήρης.
ἡ δ' εἶπε κινήσασα βυσσόθεν γνώμην·
'χαλεπὸν κελεύεις, ἀλλ' ὅμως ὑπουργήσω.'
καὶ δὴ κατ' ἴχνος ὡς σοφὴ κύων ᾔει,
πλέκουσα τέχνας καὶ πανουργίας πάσας,
ἀεὶ δ' ἕκαστον ποιμένων ἐπηρώτα,
μή πού τις ἔλαφος ᾑματωμένη φεύγει.
τὴν δ' ὥς τις εἶδε, δεικνύων ἂν ὡδήγει,
ἕως ποθ' εὗρεν ἐν κατασκίῳ χώρῳ
δρόμων ἀναψύχουσαν. ἡ δ' ἀναιδείης
ὀφρὺν ἔχουσα καὶ μέτωπον εἰστήκει.
ἐλάφου δὲ φρὶξ ἐπέσχε νῶτα καὶ κνήμας,
χολὴ δ' ἐπέζει καρδίην, ἔφη δ' οὕτως·
'ἀλλ' ὦ στύγημα, νῦν μὲν οὐχὶ χαιρήσεις,
ἤν μοι προσέλθῃς καὶ γρύσαι τι τολμήσῃς.
ἄλλους ἀλωπέκιζε τοὺς ἀπειρήτους,
ἄλλους δὲ βασιλεῖς αἱρέτιζε καὶ ποίει.'
τῆς δ' οὐκ ἐτρέφθη θυμός, ἀλλ' ὑποβλήδην·
'οὕτως ἀγεννής', φησί, 'καὶ φόβου πλήρης
πέφυκας; οὕτω τοὺς φίλους ὑποπτεύεις;
ὁ μὲν λέων σοι συμφέροντα βουλεύσων
μέλλων τ' ἐγείρειν τῆς πάροιθε νωθείης
ἔψαυσεν ὠτός, ὡς πατὴρ ἀποθνῄσκων·
ἔμελλε γάρ σοι πᾶσαν ἐντολὴν δώσειν,

ἀρχὴν τοσαύτην πῶς λαβοῦσα τηρήσεις·
σὺ δ' οὐχ ὑπέστης κνίσμα χειρὸς ἀρρώστου,
βίῃ δ' ἀποσπασθεῖσα μᾶλλον ἐτρώθης.
καὶ νῦν ἐκεῖνος πλεῖον ἢ σὺ θυμοῦται·
λίην ἄπιστον πειράσας σε καὶ κούφην
βασιλῆά φησι τὸν λύκον καταστήσειν.
οἴμοι πονηροῦ δεσπότου. τί ποιήσω;
ἅπασιν ἡμῖν αἰτίη κακῶν γίνῃ.
ἀλλ' ἐλθὲ καὶ τὸ λοιπὸν ἴσθι γενναίη,
μηδ' ἐπτόησο, πρόβατον οἷον ἐκ ποίμνης.
ὄμνυμι γάρ σοι φύλλα πάντα καὶ κρήνας,
οὕτω γένοιτο σοὶ μόνῃ με δουλεύειν,
ὡς οὐδὲν ὁ λέων ἐχθρός, ἀλλ' ὑπ' εὐνοίης
τίθησι πάντων κυρίην σε τῶν ζῴων.'
τοιαῦτα κωτίλλουσα τὴν ἀχαιίνην
ἔπεισεν ἐλθεῖν δὶς τὸν αὐτὸν εἰς Ἅιδην.
ἐπεὶ δὲ λόχμης εἰς μυχὸν κατεκλείσθη,
λέων μὲν αὐτὸς εἶχε δαῖτα πανθοίνην,
σάρκας λαφύσσων, μυελὸν ὀστέων πίνων
καὶ σπλάγχνα δάπτων· ἡ δ' ἀγωγὸς εἱστήκει
πεινῶσα θήρης, καρδίην δὲ νεβρείην
λάπτει πεσοῦσαν ἁρπάσασα λαθραίως,
καὶ τοῦτο κέρδος εἶχεν ὧν ἐκεκμήκει.
λέων δ' ἕκαστον ἐγκάτων ἀριθμήσας
μόνην ἀπ' ἄλλων καρδίην ἐπεζήτει,
καὶ πᾶσαν εὐνήν, πάντα δ' οἶκον ἠρεύνα.
κερδὼ δ' ἀπαιολῶσα τῆς ἀληθείης·
'οὐκ εἶχε πάντως', φησί, 'μὴ μάτην ζήτει·
ποίην δ' ἔμελλε καρδίην ἔχειν, ἥτις
ἐκ δευτέρου λέοντος ἦλθεν εἰς οἴκους;'

Epigrammata.

1. Ὑψίκομον παρὰ τάνδε καθίζεο φωνήεσσαν
φρίσσουσαν πυκινοῖς κῶνον ὑπὸ ζεφύροις,
καί σοι καχλάζουσιν ἐμοῖς παρὰ νάμασι σῦριγξ
θελγομένων στάξει κῶμα κατὰ βλεφάρων (*Planud.* 13.)

2. Ἁγνὸς πρὸς τέμενος καθαρόν, ξένε, δαίμονος ἔρχου
ψυχὴν νυμφαίου νάματος ἀψάμενος·
ὡς ἀγαθοῖς κεῖται βαιὴ λιβάς· ἄνδρα δὲ φαῦλον
οὐδ' ἂν ὁ πᾶς νίψαι νάμασιν Ὠκεανός.
(*Mesomedes. Anth. Pal XIV* 71.)

3. Δεῦρ' ἴθι, βαιόν, ὁδῖτα, πεσὼν ὑπὸ δάσκιον ἄλσος,
ἄμπαυσον καμάτου γυῖα πολυπλανέος,
χλωρὸν ὅπου πλατάνων αὐτόρρυτον ἐς μέσον ὕδωρ
καλὰ πολυκρούνων ἐκπροῤῥέει στομάτων·
ὀππόθι πορφυρέης ὑπὲρ αὔλακος εἴαρι θάλλει
ὑγρὸν ἴον ῥοδέῃ κιρνάμενον κάλυκι.
ἠνίδε πῶς δροσεροῖο πέδον λειμῶνος ἐρέψας
ἔκχυτον εὐχαίτης κισσὸς ἔπληξε κόμην.
ἐνθάδε καὶ ποταμὸς λασίην παραμείβεται ὄχθην
πέζαν ὑποξύων αὐτοφύτοιο νάπης.
Οὗτος Ἔρως· τί γὰρ ἄλλο καὶ ἔπρεπεν οὔνομα χώρῳ,
πάντοθεν ἱμερτῶν πληθομένῳ Χαρίτων;
(*Marianus Scholasticus. A. P. IX* 669.)

4. Κράμβην Ἀρτεμίδωρος, Ἀρίσταρχος δὲ τάριχον,
βολβίσκους δ' ἡμῖν δῶκεν Ἀθηναγόρας,
ἡπάτιον Φιλόδημος, Ἀπολλοφάνης δὲ δύο μνᾶς
χοιρείου, καὶ τρεῖς ἦσαν ἀπ' ἐχθὲς ἔτι.
ᾠὸν καὶ στεφάνους καὶ σάμβαλα καὶ μύρον ἡμῖν
λάμβανε, παῖ· δεκάτης εὐθὺ θέλω παράγειν.
(*Philodemus. A. P. XI* 35.)

5. Πλοῦτος ὁ τῆς ψυχῆς πλοῦτος μόνος ἐστὶν ἀληθής·
τἄλλα δ' ἔχει λύπην πλείονα τῶν κτεάνων.
τὸν δὲ πολυκτέανον καὶ πλούσιον ἔστι δίκαιον
κλῄζειν, ὃς χρῆσθαι τοῖς ἀγαθοῖς δύναται.
εἰ δέ τις ἐν ψήφοις κατατήκεται ἄλλον ἐπ' ἄλλῳ
σωρεύειν αἰεὶ πλοῦτον ἐπειγόμενος,
οὗτος ὁποῖα μέλισσα πολυτρήτοις ἐνὶ σίμβλοις
μοχθήσει ἑτέρων δρεπτομένων τὸ μέλι.
(*Lucianus. A. P. X* 41.)

---

6. Σιμύλος ὁ ψάλτης τοὺς γείτονας ἔκτανε πάντας
νυκτὸς ὅλης ψάλλων πλὴν ἑνὸς Ὠριγένους·
κωφὸν γὰρ φύσις αὐτὸν ἐθήκατο· τοὔνεκεν αὐτῷ
ζωὴν ἀντ' ἀκοῆς δῶκε περισσοτέρην.
(*Leonidas. A. P. XI* 187.)

7. *Τέθνηκ' Εὐτυχίδης ὁ μελογράφος. οἱ κατὰ γαῖαν*
φεύγετ'· ἔχων ᾠδὰς ἔρχεται Εὐτυχίδης·
καὶ κιθάρας αὐτῷ διετάξατο συγκατακαῦσαι
δώδεκα καὶ κίστας εἰκοσιπέντε νόμων.
νῦν ὑμῖν ὁ Χάρων ἐπελήλυθε· ποῦ τις ἀπέλθῃ
λοιπόν, ἐπεὶ χᾄδην Εὐτυχίδης κατέχει;
(*Lucillius. A. P. XI 133.*)

8. *Οὔτ' ἐπὶ Δευκαλίωνος ὕδωρ, ὅτε πάντ' ἐγενήθη,*
οὔθ' ὁ καταπρήσας τοὺς ἐπὶ γῆς Φαέθων
ἀνθρώπους ἔκτεινεν, ὅσους Ποτάμων ὁ ποιητὴς
καὶ χειρουργήσας ὤλεσεν Ἑρμογένης.
ὥστ' ἐξ αἰῶνος κακὰ τέσσαρα ταῦτ' ἐγενήθη·
Δευκαλίων, Φαέθων, Ἑρμογένης, Ποτάμων.
(*Eiusdem ibid. 131.*)

9. *Ὀρθῶσαι τὸν κυρτὸν ὑποσχόμενος Διόδωρον*
Σωκλῆς τετραπέδους τρεῖς ἐπέθηκε λίθους
τοῦ κυρτοῦ στιβαροὺς ἐπὶ τὴν ῥάχιν· ἀλλὰ πιεσθεὶς
τέθνηκεν, γέγονεν δ' ὀρθότερος κανόνος.
(*Callicterus. A. P. XI 120.*)

10. *Χθιζὸν ἐμοὶ νοσέοντι παρίστατο δήϊος ἀνὴρ*
ἰητρὸς δεπάων νέκταρ ἀπειπάμενος·
εἶπε δ' ὕδωρ πίνειν ἀνεμώλιος οὐδ' ἐδιδάχθη,
ὅττι μένος μερόπων οἶνον Ὅμηρος ἔφη.
(*Macedonius Hypatus. A. P. XI 61.*)

11. *Τὸν μικρὸν Μάκρωνα θέρους κοιμώμενον εὑρὼν*
εἰς τρώγλην μικρὸς τοῦ ποδὸς εἵλκυσε μῦς.
ὃς δ' ἐν τῇ τρώγλῃ ψιλὸς τὸν μῦν ἀποπνίξας·
'Ζεῦ πάτερ', εἶπεν, 'ἔχεις δεύτερον Ἡρακλέα.'
(*Lucillius. A. P. XI 95.*)

12. *Τρεῖς λεπτοὶ πρῴην περὶ λεπτοσύνης ἐμάχοντο,*
τίς προκριθεὶς εἴη λεπτεπιλεπτότερος.
ὧν ὁ μὲν εἷς, Ἕρμων, μεγάλην ἐνεδείξατο τέχνην
καὶ διέδυ ῥαφίδος τρῆμα λίνον κατέχων·
Δημᾶς δ' ἐκ τρώγλης βαίνων ἐς ἀράχνιον ἔστη,
ἡ δ' ἀράχνη νήθουσ' αὐτὸν ἀπεκρέμασεν.
Σωσίπατρος δ' ἐβόησεν· ''Ἐμὲ στεφανώσατ'· ἐγὼ γὰρ
εἰ βλέπομ', ἥττημαι· πνεῦμα γάρ εἰμι μόνον.'
(*Nicarchus. A. P. XI 110.*)

13. *Τὸ στάδιον Περικλῆς εἴτ' ἔδραμεν εἴτ' ἐκάθητο,*
οὐδεὶς οἶδεν ὅλως· δαιμόνιος βραδυτής·
ὁ ψόφος ἦν ὕσπληγος ἐν οὔασι καὶ στεφανοῦτο
ἄλλος, καὶ Περικλῆς δάκτυλον οὐ προέβη.
(*Lucillius. A. P. XI 86.*)